This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/



Warburton Davies

ʽΑΙ ΤΟΥ

ΕΥΡΙΠΙΔΟΥ

ΤΡΑΓΩΔΙΑΙ

ΣΩΖΟΜΕΝΑΙ.

EURIPIDIS

TRAGOEDIAE

QUAE SUPERSUNT,

EX RECENSIONE SAMUELIS MUSGRAVII.

TOMUS OCTAVUS.

ASTOR LI
NEW-YORK.

GLASGUAE:
EXCUDEBAT ANDREAS FOULIS.
EDINBURGI PROSTANT VENALES APUD G. LAING,
ET APUD D. BREMNER LONDINI.
MDCC.XCVII.

ΤΟΥ

ΕΥΡΙΠΙΔΟΥ

῾ΗΡΑΚΛΕΙΔΑΙ.

ὙΠΟΘΕΣΙΣ

ἩΡΑΚΛΕΙΔΩΝ.

ἸΟΛΑΟΣ υἱὸς μὲν ἦν Ἰφικλέυς, ἀδελφιδῦς δὲ Ἡρακλέυς· ἐν νεότητι δ᾽ ἐκείνῳ συςρατευσάμενος, ἐν γήρᾳ τοῖς ἐξ ἐκείνυ βοηθὸς εὔνυς παρέστη. τῶν γὰρ παίδων ἐξ ἁπάσης ἐλαυνομένων γῆς ὑπ᾽ Εὐρυσθέως, ἔχων αὐτὺς ἦλθεν εἰς Ἀθήνας· κᾀκεῖ προσφυγὼν τοῖς θεοῖς, ἔσχε τὴν ἀσφάλειαν, Δημοφῶντος τῆς πόλεως κρατῦντος. Κοπρέως δὲ τῦ Εὐρυσθέως κήρυκος ἀποσπᾷν θέλοντος τὺς ἱκέτας, ἐκώλυσεν αὐτόν. ὁ δὲ ἀπῆλθε, πόλεμον ἀπειλήσας προσδέχεσθαι. Δημοφῶν δὲ, τύτυ μὲν ὠλιγώρει· χρησμῶν δὲ αὐτῷ νικηφόρων γενηθέντων, ἐὰν Δήμητρι τὴν εὐγενεστάτην παρθένων σφάξῃ, τοῖς λόγοις βαρέως ἔσχεν· ὔτε γὰρ ἰδίαν, ὔτε τῶν πολιτῶν τινὸς θυγατέρα χάριν τῶν ἱκετῶν ἀποκτεῖναι, δίκαιον ἡγεῖται· τὴν μαντείαν δὲ προγνῦσα μία τῶν Ἡρακλέυς παίδων Μακαρία, τὸν θάνατον ἑκυσίως ὑπέςη. ταύτην μὲν ὖν εὐγενῶς ἀποθανῦσαν ἐτίμησεν· αὐτοὶ δὲ τὺς πολεμίυς ἐπιγνόντες παρόντας, εἰς τὴν μάχην ὥρμησαν.

ὉΤΟΥ

ΕΥΡΙΠΙΔΟΥ ΗΡΑΚΛΕΙΔΑΙ.

Τὰ τῦ Δράματος

ΠΡΟΣΩΠΑ.

ΙΟΛΑΟΣ.

ΚΟΜΠΡΕΥΣ.

ΧΟΡΟΣ.

ΔΗΜΟΦΩΝ.

ΜΑΚΑΡΙΑ ΠΑΡΘΕΝΟΣ.

ΘΕΡΑΠΑΙΝΑ.

ΑΓΓΕΛΟΣ.

ΑΛΚΜΗΝΗ.

ΕΥΡΥΣΘΕΥΣ.

Προλογίζει δὲ ὁ Ἰόλαος.

HERACLIDAE.

IOLAUS.

IAMBI.

JAMPRIDEM hoc apud me conſtitutum eſt,
Probus quidem Vir aliorum commodis natus eſt.
Qui vero animum habet propenſum in lucrum,
Reique publicae *eſt* inutilis, et una paciſci gravis,
Sed ſibi ipſi optimus: ſcio autem *hoc* non verbis
Edoctus, Ego enim prae pudore, et colens cognationem,
Cum poſſem Argis tranquille habitare, laborum
Particeps fui plurium quam ullus vir unus cum
Hercule, quando erat nobiſcum: nunc vero poſtquam
In coelo habitat, ſub alis habens illius liberos,
Servo hoſce, cum ipſe indigeam tutela.
Poſtquam enim pater ipſorum diſceſſit ex terra,
Primum quidem nos voluit Euryſtheus interficere:
Sed effugimus, et periit quidem civitatis jus,
Sed vita ſervata eſt: fugimus autem errantes,
Ab alia urbe in aliam, fines tranſgredientes.
Praeter enim alia mala, hanc etiam Euryſtheus

ΗΡΑΚΛΕΙΔΑΙ.

ΙΟΛΑΟΣ.

ΙΑΜΒΟΙ.

ΠΑΛΑΙ ποτ' ἐςὶ τοῦτ' ἐμοὶ δεδογμένον,
Ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνὴρ,
Ὁ δ' εἰς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον,
Πόλει τ' ἄχρηςος, καὶ συναλλάσσειν βαρὺς,
Αὑτῷ δ' ἄριςος· οἶδα δ', ȣ̓ λόγῳ μαθών.
Ἐγὼ γὰρ αἰδοῖ, καὶ τὸ συγγενὲς σέβων,
Ἐξὸν κατ' Ἄργος ἡσύχως ναίειν, πόνων
Πλείςων μετέσχον εἷς ἀνὴρ Ἡρακλέι,
Ὅτ' ἦν μεθ' ἡμῶν· νῦν δ', ἐπεὶ κατ' ȣ̓ρανὸν
Ναίει, τὰ κείνȣ τέκν' ἔχων ὑπὸ πτεροῖς
Σώζω τάδ', αὐτὸς δεόμενος σωτηρίας.
Ἐπεὶ γὰρ αὐτῶν γῆς ἀπαλλάχθη πατὴρ,
Πρῶτον μὲν ἡμᾶς ἤθελ' Εὐρυσθεὺς κτανεῖν·
Ἀλλ' ἐξέδραμεν· καὶ πόλις μὲν οἴχεται,
Ψυχὴ δ' ἐσώθη· φεύγομεν δ' ἀλώμενοι,
Ἄλλην ἀπ'. ἄλλης ἐξορίζοντες πόλιν.
Πρὸς τοῖς γὰρ ἄλλοις καὶ τόδ' Εὐρυσθεὺς κακοῖς

Ὕβρισμ' ἐς ἡμᾶς ἠξίωσεν ὑβρίσαι·
Πέμπων, ὅπη γῆς πυνθάνοιθ' ἱδρυμένους,
Κήρυκας, ἐξαιτεῖ τε, κἀξείργει χθονὸς,
Πόλιν προτείνων Ἄργος οὐ σμικρὰν φίλων
Ἔχθραν γενέσθαι, χ' αὐτὸν εὐτυχοῦνθ' ἅμα.
Οἱ δ', ἀσθενῆ μὲν τἀπ' ἐμοῦ δεδορκότες,
Σμικροὺς δὲ τούσδε, καὶ πατρὸς τητωμένους,
Τοὺς κρείσσονας σέβοντες, ἐξείργουσι γῆς.
Ἐγὼ δὲ, σὺν φεύγουσι συμφεύγω τέκνοις,
Καὶ σὺν κακῶς πράσσουσι συμπράσσω κακῶς,
Ὀκνῶν προδοῦναι, μή τις ὧδ' εἴπῃ βροτῶν·
Ἴδεσθ', ἐπειδὴ παισὶν οὐκ ἔστιν πατὴρ,
Ἰόλαος οὐκ ἤμυνε, συγγενὴς γεγώς.
Πάσης δὲ χώρας Ἑλλάδος τητώμενοι,
Μαραθῶνα, καὶ σύγκληρον ἐλθόντες χθόνα,
Ἱκέται καθεζόμεσθα βώμιοι θεῶν.
Προσωφελῆσαι· πεδία γὰρ τῆσδε χθονὸς
Δισσοὺς κατοικεῖν Θησέως παῖδας λόγος,
Κλήρῳ λαχόντας, ἐκ γένους Πανδίονος,
Τοῖσδ' ἐγγὺς ὄντας· ὧν ἕκατι, τέρμονας
Κλεινῶν Ἀθηνῶν τήνδ' ἀφικόμεσθ' ὁδόν.
Δυοῖν γερόντοιν δὲ στρατηγεῖται φυγή.
Ἐγὼ μὲν ἀμφὶ τοῖσδε καλχαίνω τέκνοις·

Contumeliam nobis inferre aequum cenſuit,
Mittens, ubicunque terrarum audiret *nos* conſediſſe,
Praecones, et depoſcit et abigit e terra:
Urbem Argivam praedicans, non infirmam et juvare
Et odia exercere, et ſeipſum fortunatum ſimul.
Illi vero tum res meas infirmas viderent,
Hos vero parvos et patre orbatos,
Colentes potentiores, terra *nos* abigunt.
Ego vero fugio cum fugientibus liberis,
Sumque afflictus, cum afflictis,
Metuens prodere *eos*, ne quis ita dicat mortalium:
Videte, poſtquam non eſt pater filiis,
Ex omni vero profligati Graecia,
Iolaus non fert opem, cum ſit cognatus
Venientes *ad* Marathonem, et terram ejuſdem
Ditionis, ſupplices ſedemus ad aras Deorum,
Ut juvent *nos*: campos enim hujus terrae
Habitare dicuntur duo fiii Theſei,
Sortito poſſidentes ex genere Pandionis,
His *Herculis filiis genere* propinqui: quorum cauſa
Ad fines inclytarum Atheuarum itinere praeſenti
Venimus. A duobus vero ſenibus *hoc* exilium regitur:
Nam ego quidem de his pueris tutandis aeſtuo:

Haec vero Alcmene foemineam filii ſui prolem
Intra hoc templum in ulnis fovens
Servat: tenellas enim virgines pudet
Accedere ad turbam, et circa aras lamentari.
Hyllus vero, et fratres, quibus provectior eſt aetas,
Quaerunt ubi poſſimus habitare aliquam arcem,
Si pellamur ex hac terra per vim.
O filii, filii, huc *venientes* apprehendite meas
Veſtes: video *enim* praeconem hunc Euryſthei
Venientem ad nos, a quo patimur perſecutionem
Errones omni terra expulſi.
O exoſe, utinam pereas, et vir ille, qui miſit!
Adeo multa jam et horum generoſo patri,
Et hoc ipſo ore nunciaſti mala.
C. Nempe pulchram ſedem hunc te conſediſſe putas,
Et *ad* urbem ſociam perveniſſe, prave judicans?
Nullus enim eſt, qui antepoſiturus ſit
Tuam imbecillem potentiam Euryſtheo.
Vade? quid haec laboras? Oportet te diſcedere
Ad Argos, ubi te expectat ſupplicium lapidationis.
I. Nequaquam, quoniam mihi opitulabitur ara Dei,
Et libera terra, in quam ingreſſi ſumus.
C. Vis addere huic meae manui laborem?

Ἡ δ᾽ αὖ τὸ θῆλυ παιδὸς Ἀλκμήνη γένος
Ἔσωθε ναῦ τῦδ᾽ ἀπηγκαλισμένη,
Σώζει· νέας γὰρ παρθένους αἰδούμεθα
Ὄχλῳ πελάζειν, κἀπιβωμιοςατεῖν.
Ὕλλος δ᾽, ἀδελφοί θ᾽, οἷσι πρεσβεύει γένος,
Ζητοῦσ᾽ ὅπε γῆς πύργον οἰκιέμεθα,
Ἢν τῆσδ᾽ ἀπωθώμεσθα πρὸς βίαν χθονός.
Ὦ τέκνια, τέκνα, δεῦρο λαμβάνεσθ᾽ ἐμῶν
Πέπλων· ὁρῶ κήρυκα τόνδ᾽ Εὐρυσθέως
Στείχοντ᾽ ἐφ᾽ ἡμᾶς, ȣ̃ διωκόμεσθ᾽ ὕπο,
Πάσης ἀλῆται γῆς ἀπεςερημένοι.
Ὦ μῖσος, εἴθ᾽ ὄλοιο, χ᾽ ὡ πέμψας ἀνήρ·
Ὡς πολλὰ δὴ καὶ τῶνδε γενναίῳ πατρὶ
Ἐκ τȣ̃δε ταυτȣ̃ ςόματος ἤγγειλας κακά.
Κ. Ἦπε καθῆσθαι τήνδ᾽ ἕδραν καλὴν δοκεῖς,
Πόλιν τ᾽ ἀφῖχθαι σύμμαχον, κακῶς φρονῶν;
Οὐ γάρ τις ἐςὶν, ὃς πάροιθ᾽ αἱρήσεται
Τὴν σὴν ἀχρείαν δύναμιν ἀντ᾽ Εὐρυσθέως.
Χώρει· τί μοχθεῖς ταῦτ᾽; ἀνίςασθαί σε χρὴ
Εἰς Ἄργος, ȣ̃ σε λεύσιμος μένει δίκη.
Ι. Οὐ δῆτ᾽, ἐπεί μοι βωμὸς ἀρκέσει θεοῦ,
Ἐλευθέρα τε γαῖ᾽, ἐν ᾗ βεβήκαμεν.
Κ. Βȣ́λει πόνον μοι τῆδε προσθεῖναι χερί;

Ι Οὔτοι βίᾳ γέ μ', ὐδὲ τῦσδ', ἄξεις λαβών.
Κ Γνώσῃ σύ· μάντις δ' ἦσθ' ἄρ' ὐ καλὸς τάδε.
Ι Οὐκ ἂν γένοιτο τῦτ' ἐμοῦ ζῶντός ποτε.
Κ. Ἄπαιρ'· ἐγὼ ᾗ τύσδε, κἂν σὺ μὴ θέλῃς,
Ἄξω, νομίζων ὖπέρ εἰσ' Εὐρυσθέως.
Ι. Ὦ τὰς Ἀθήνας δαρὸν οἰκοῦντες χρόνον,
Ἀμύνεθ'· ἱκέται δ' ὄντες Ἀγοραίυ Διὸς,
Βιαζόμεσθα, καὶ ςέφη μιαίνεται,
Πόλει τ' ὄνειδος, καὶ θεῶν ἀτιμία.
Χ. Ἔα, ἔα· τίς ἡ βοὴ βωμοῦ πέλας
Ἕςηκε; ποίαν συμφορὰν δείξει τάχα;

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

ΣΤΡΟΦΗ Α'.

Ι. Ἴδετε τὸν γέροντ' ἀ-
μαλὸν ἐπὶ πέδῳ
Χύμενον· ὦ τάλας.
Χ. Πρὸς τῦ ποτ' ἐν γῇ πτῶμα δύςηνον πίτνεις;
Ι. Ὅδ', ὦ ξένοι, με, σὺς ἀτιμάζων θεὺς,
Ἕλκει βιαίως Ζηνὸς ἐκ προβωμίων.

ΣΤΡΟΦΗ Β'.

Χ. Ὅδ'; ἐκ τίνος γῆς, ὦ γέρον, τετράπτολιν
Ξύνοικον ἦλθες λαόν;
Ἢ πέραθεν ἁλίῳ πλάτᾳ

I. Nunquam me, neque hos captos per vim abduces.
C. Çognoſces: nec bonus vates quoad haec fuiſti.
I. Non fiet hoc me vivente unquam.
C. Diſcede: ego enim hos, quamvis tu nolis,
Abducam, Euryſtheo traditurus, cujus ſunt.
I. O qui Athenas longum habitatis tempus, opem
Ferte. Jovis enim Agoraei cum ſimus ſupplices,
Vim patimur, et ſupplicum ram-ilana- velati polluuntur
Urbi probrum, et Deorum contumelia.
C. Ehem, ehem. Quiſnam clamor prope aram
Excitatus auditur? quam calamitatem mox oſtendet?

ANOMOEOSTROPHA.

STROPHE 1.

I. Aſpicite *me* ſenem
Debilem, humi
Fuſum: o me, miſerum!
C. A quonam *proſtratus*, humi, caſu miſero jaces?
I. Iſte, o hoſpites, me, contemnens tuos deos,
Trahit violenter ex veſtibulo arae Jovis.

STROPHE 2.

C. Hiccine? ex qua terra, o ſenex, ex-quatuor-
Civitatibus-collectum ſimul habitantem populum
Veniſti? an ex ulteriori loco, marino remo

Appuliſtis, relicto
Euboico littore?
I. Non ago, o hoſpites, inſularem vitam:
Sed ex Mycenis *ad* tutam terram venimus.

STROPHE 3.

C. Quo nomine te, o ſenex, Mycenaeus
Appellat populus?
I. Herculeumne forte noviſtis Armigerum
Iolaum? Nam haec perſona non *eſt* incelebris.

STROPHE 4

C. Novi et ante audito *ejus nomine*. Sed cujusnam in
Manu tua geſtas pueros *impuberes*, dic.
I. Herculis iſti ſunt filii, o hoſpites,
Supplices tui civitatis *huc* venientes.

STROPHE 5.

C. Quam ob cauſam? dic mihi, an civitatis
Colloquium expetentes conſequi?
I. Ne dedantur, neque per vim a Diis
Tuis avulſi Argos redeant.
C. Sed tuis dominis haec non ſufficient,
Qui imperium in te habentes, hic inveniunt te.

STROPHE 6.

C. Convenit deorum vereri ſupplices, o hoſpes,

Κατέχετ' ἐκλιπόντες
Εὐβοΐδ' ἀκτάν;
Ι. Οὐ νησιώτην, ὦ ξένοι, τρίβω βίον,
'Αλλ' ἐκ Μυκηνῶν σὴν ἀφίγμεθα χθόνα.

ΣΤΡΟΦΗ Γ'.

Χ. Ὄνομα τί σε, γέρον, Μυκηναῖος
'Ωνόμαζε λαός;
Ι. Τὸν Ἡράκλειον ἴσε πυ παραςάτην
Ἰόλαον; ὐ γὰρ σῶμ' ἀκήρυκτον τόδε.

ΣΤΡΟΦΗ Δ'.

Χ. Οἶδ', εἰσακύσας καὶ πρίν· ἀλλὰ τῦ ποτ' ἐν
Χερὶ σᾷ κομίζεις νεοτρεφεῖς κόρυς φράσον.
Ι. Ἡρακλέυς οἵδ' εἰσὶ παῖδες, ὦ ξένοι,
Ἱκέται σέθεν τε, καὶ πόλεως, ἀφιγμένοι.

ΣΤΡΟΦΗ Ε'.

Χ. Τί χρέος; ἢ λόγων πόλεως ἔννεπέ μοι,
Μελομένοι τυχεῖν;
Ι. Μήτ' ἐκδοθῆναι, μήτε πρὸς βίαν θεῶν
Τῶν σῶν ἀποσπασθέντες εἰς 'Αργος μολεῖν.
Κ. 'Αλλ' οὔτι τοῖς σοῖς δεσπόταις τάδ' ἀρκέσει,
Οἵ, σοῦ κρατοῦντες, ἐνθάδ' εὑρίσκυσί σε.

ΣΤΡΟΦΗ ς'.

Χ. Εἰκὸς θεῶν ἱκτῆρας αἰδεῖσθαι, ξένε.

Καὶ μὴ βιαίῳ χειρὶ
Δαιμόνων ἀπολείπειν σ' ἕδη·
Πότνια γὰρ Δίκα τάδ' ἐ πείσεται.
Κ. Ἔκπεμπε νῦν γῆς τῆσδε τὲς Εὐρυσθέως,
Κἐδὲν βιαίῳ τῇδε χρήσομαι χερί.

ΣΤΡΟΦΗ Ζ'.

Χ. Ἄθεον ἱκεσίαν μεθεῖναι πόλει
Ξένων προστροπάν.

ΙΑΜΒΟΙ.

Κ. Καλὸν δέ γ' ἔξω πραγμάτων ἔχειν πόδα,
Εὐϐελίας τυχόντα τῆς ἀμείνονος.
Χ. Οὐκὲν τυράννῳ τῆσδε γῆς φράσαντά σε
Χρῆν ταῦτα τολμᾶν ἀλλὰ μὴ βίᾳ ξένες
Θεῶν ἀφέλκειν, γῆν σέϐοντ' ἐλευθέραν.
Κ. Τίς δ' ἐςὶ χώρας τῆσδε, ϗ πόλεως, ἄναξ;
Χ. Ἐσθλοῦ πατρὸς παῖς Δημοφῶν ὁ Θησέως.
Κ. Πρὸς τόνδ' ἀγὼν τις ἄρα τὲδε τὲ λόγε
Μάλις' ἂν εἴη· τἆλλά δ' εἴρηται μάτην.
Χ. Καὶ μὴν ὅδ' αὐτὸς ἔρχεται σπεδὴν ἔχων,
Ἀκάμας τ' ἀδελφὸς, τῶνδ' ἐπήκοοι λόγων.
Δ. Ἐπείπερ ἔφθης, πρέσϐυς ὢν, νεωτέρες,
Βοηδρομήσας τήνδ' ἐπ' ἐσχάραν Διὸς,
Λέξον, τίς ὄχλον τόνδ' ἀθροίζεται τύχη.

Neque violenta manu *decet*
Eos Deorum relinquere ſedes:
Veneranda enim Dice haec non tolerabit.
B. Ejice nunc ex *hac* terra hos Euryſthei *ſervos*,
Et non utar hac manu violenta.

STROPHE 7.

Impium *eſt* civitatem negligere ſupplicem
Hoſpitum ſupplicationem.

IAMBI.

C. Praeclarum vero *eſt* extra negotia habere pedem,
Nactum imprudentiam meliorem.
C. Ergo Regi hujus agri te declaratis.
His *rebus* oportebat *haec* audere, non autem per vim
Hoſpites a Diis, abſtrahere, terram venerantem
Liberam. C. Quis autem eſt rex hujus regionis et
Urbis? C. Inclyti patris filius Demophoon Theſei.
C. Cum hoc igitur mihi certamen aliquod hujus
Negotii potiſſimum erit, reliqua vero dicta ſunt
Fruſtra. C. Atqui hic ipſe *jam huc* venit feſtinanter,
Et Acamas frater, auditores hujus cauſae futuri.
D. Poſtquam tu ſenior antevertiſti *nos* juniores,
Accurrens ad hanc aram Jovis,
Dic, qui caſus hanc turbam congreget.

C. Sedent ſupplices iſti filii Herculis,
Coronantes aram, ut vides, o rex,
Et Iolaus fidus ſocius patris *eorum*.
D. Quid igitur clamoribus haec indigebat calamitas?
C. Vi eos iſte ducere ab hac ara
Volens, excitavit clamorem, et evertit genu
Senis, ut prae miſeratione mihi excuſſerit lacrymas.
D. Et tamen ornatum Graecanicum, et modum veſtis
Habet. Caeterum, haec *ſunt* barbarae manus,
Tuum eſt jam dicere, et non cunctari, mihi,
Cujus terrae fines relinquens, huc veneris.
C. Argivus ſum: hoc enim vis ſcire.
Quare autem venerim, etiamſi nolis, dico.
Mittit me huc Mycenarum rex Euryſtheus
Ducturum hos: veni autem, o hoſpes, multa
Juſta ſimul et facere et dicere habens.
Ipſe enim cum ſim Argivus, duco Argivos
Fugitivos hos ex mea *terra* tenens,
Legibus patriis condemnatos mori. Aequum
Autem eſt, ut *noſtram* adminiſtrantes Rempublicam
Nos ipſi in nos ipſos rata judicia ſtatuamus.
Cum autem et multorum aliorum *ad* aras *hi* venerint

Χ. Ἱκέται κάθηνται παῖδες οἵδ' Ἡρακλέους,
Βωμὸν καταστέψαντες, ὡς ὁρᾷς, ἄναξ,
Πατρός τε πιστὸς Ἰόλεως παραστάτης.
Δ. Τί δῆτ' ἰϋγμῶν τοῦδ' ἐδεῖτο συμφορά;
Χ. Βίᾳ νιν οὗτος τῆσδ' ἀπ' ἐσχάρας ἄγειν
Ζητῶν, βοὴν ἔστησε, κἄσφηλεν γόνυ
Γέροντος, ὥστε μοι βαλεῖν οἴκτῳ δάκρυ.
Δ. Καὶ μὴν στολήν γ' Ἕλληνα, καὶ ῥυθμὸν
πέπλων
Ἔχει· τὰ δ' ἄλλα, βαρβάρου χερὸς τάδε.
Σὸν δὴ τὸ φράζειν ἐστὶ, μὴ μέλλειν τ', ἐμοὶ,
Ποίας ἀφῖξαι δεῦρο γῆς ὅρους λιπών.
Κ. Ἀργεῖος εἰμι· τοῦτο γὰρ θέλεις μαθεῖν·
Ἐφ' οἷσι δ' ἥκω, καὶ παρ' οὗ, λέγειν θέλω.
Πέμπει Μυκηνῶν δεῦρό μ' Εὐρυσθεὺς ἄναξ,
Ἄξοντα τούσδε· πολλὰ δ' ἦλθον, ὦ ξένε,
Δίκαι' ὁμαρτῇ δρᾶν τε, καὶ λέγειν, ἔχων.
Ἀργεῖος ὢν γὰρ αὐτὸς, Ἀργείους ἄγω,
Ἐκ τῆς ἐμαυτοῦ δραπέτας τούτους ἔχων,
Νόμοισι τοῖς ἐκεῖθεν ἐψηφισμένους
Θανεῖν· δίκαιοι δ' ἐσμὲν, οἰκοῦντες πόλιν,
Αὐτοὶ καθ' αὑτῶν κυρίους κραίνειν δίκας.
Πολλῶν δὲ κἄλλων ἑστίας ἀφιγμένω

Ἐν τοῖσιδ' αὐταῖς τοῖσιν ἕϛαμεν λόγοις,
Κοὐδεὶς ἐτόλμησ' ἴδια προσθέσθαι κακά.
Ἀλλ', εἴ τιν' εἰς σὲ μωρίαν ἐσκεμμένοι,
Δεῦρ' ἦλθον, ἐς κίνδυνον ἐξ ἀμηχάνων
Ῥιπτοῦντες, εἴτ' οὖν, εἴτε μὴ, γενήσεται.
Οὐ γὰρ φρενήρη γ' ὄντα σ' ἐλπίζουσί που
Μόνον τοσαύτης, ἣν ἐπῆλθον, Ἑλλάδος,
Τὰς τῶνδ' ἀβούλους ξυμφορὰς κατοικτίσειν.
Φέρ', ἀντίθες γὰρ, τούσδε γ' εἰς γαῖαν παρεὶς,
Ἡμᾶς τ' ἐάσας ἐξάγειν, τί κερδανεῖς;
Τὰ μὲν παρ' ἡμῶν, τοιάδ' ἐϛί σοι λαβεῖν·
Ἄργους τοσήνδε χεῖρα, τήν τ' Εὐρυσθέως
Ἰσχὺν ἅπασαν τῇδε προσθέσθαι πόλει.
Ἢν δ', εἰς λόγους τε, καὶ τὰ τῶνδ' οἰκτίσματα,
Βλέψας, πεπανθῇς, εἰς πάλην καθίϛαται
Δορὸς τὸ πρᾶγμα· μὴ γὰρ ὡς μεθήσομεν
Δόξῃς ἀγῶνα τόνδ' ἄτερ χαλυβδικοῦ.
Τί δῆτα φήσεις; ποῖα πεδί' ἀφαιρεθεὶς,
Τιρυνθίοις θῇς πόλεμον Ἀργείοις ἔχειν;
Ποίοις δ' ἀμύνων συμμάχοις; τίνος δ' ὕπερ
Θάψεις νεκροὺς πεσόντας; ἢ κακὸν λόγον
Κτήσῃ πρὸς ἀϛῶν, εἰ γέροντος οὕνεκα
Τύμβου, τὸ μηδὲν ὄντος, ὡς εἰπεῖν ἔπος,

In hoc ipſo rerum ſtatu, in quo nunc verſamur,
Et nemo auſus eſt propria accerſere ſibi mala.
Sed an ſtultitiam hi aliquam in te animadvertentes,
Huc venerunt in periculum, ob deſperationem aleam
Jacientes, ſive *fiat*, ſive non;
Non enim ſperaſſent, te exiſtentem mentis-compotem,
Solum ex tanta Graecia, quam pererrarunt,
Horum inconſultas calamitates miſeraturum.
Age, confer enim *rationes*, hos admittens in terram,
Et ſinens nos abducere, quid lucri facies?
A nobis quidem hujuſmodi *commoda* licet tibi
Accipere: Argi ipſius tantos exercitus, et Euryſthei
Omnes vires huic Reipublicae adjungere.
Si vero dicta et horum miſerationes
Intuens emollitus fueris, in certamen veniet
Armorum haec res; nec enim quod dimittemus
Putes contentionem iſtam ſine ferro.
Quid vero tum dices? quibus campis ſpoliatus,
Quibus vero ſociis opitulans, quam ob rem
Tirynthiis cliens addictus, bellum cum Argivis
Gerere? an adulaberis mortuis jacentibus? Profecto
Malam famam tibi comparabis a civibus, ſi propter
Senem, qui eſt ſepulchrum, nihil exiſtens, ut ita

Dicam, et propter hos pueros, in ſentinam pedem
Immittas. *Sed* dices, quod optimum *eſt*, te inventurum
Eſſe ſpem duntaxat: et hoc longe praeſenti occaſione
Exilius. Male enim cum Argivis iſti armati
Pugnabunt, cum pubertatem pervenerint; ſi hoc tibi
Animos tollit: et in medio longum *eſt* tempus,
In quo vos poteſtis perire. Sed mihi obtempera.
Nihil des, ſed ſinens me mea abducere,
Concilia *tibi* Mycenas: neque, quod ſoletis facere,
Hoc facias tu quoque, cum poſſis potentiores
Amicos *tibi* abjungere, ut imbecilliores accipias.
D. Quis litem *recte* judicarit, aut cauſam cognoverit,
Priuſquam ex utroque *litigatore* ſermonem audiverit
Perſpicuum? I. O Rex, hoc commodi habeo in tua
Terra: dicere, et audire viciſſim licet mihi,
Nec ullus me pellet antea, ut aliunde *pulſus fui*.
Inter nos vero et hunc nihil intercedit juris:
Poſtquam enim nihil eſt nobis amplius negotii cum
Argis, decreto facto, ſed patriam fugimus,
Quomodo poteſt juſte retrahere, tanquam Argivos,
Hicce nos, quos expulit ex patria?
Peregrini enim *jam* ſumus. An ex tota Graecia
Juſtum putatis ut exulet, quicunque Argivam

Παίδων τε τῶνδ', εἰς ἄντλον ἐμβήσῃ πόδα.
Ἐρεῖς τὸ λῷστον ἐλπίδ' εὑρήσειν μόνον·
Καὶ τοῦτο πολλῷ τοῦ παρόντος ἐνδεές.
Κακῶς γὰρ Ἀργείοισιν οἵδ' ὡπλισμένοι
Μάχοιντ' ἂν ἡβήσαντες· εἴπερ τοῦτό σε
Ψυχὴν ἐπαίρει· χ'ὡ 'ν μέσω πολὺς χρόνος,
Ἐν ᾧ διεργασθεῖτ' ἄν· ἀλλ' ἐμοὶ πιθοῦ.
Δὸς μηδέν· ἀλλὰ, τἄμ' ἐῶν ἄγειν ἐμὲ,
Κτῆσαι Μυκήνας· μήδ', ὅπερ φιλεῖτε δρᾷν,
Πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν
Φίλους ἑλέσθαι, τοὺς κακίονας λάβῃς.
Δ. Τίς ἂν δίκην κρίνειεν, ἢ γνοίη λόγον,
Πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς;
Ι. Ἄναξ, ὑπάρχει μὲν τόδ' ἐν τῇ σῇ χθονὶ
Εἰπεῖν, ἀκοῦσαί τ' ἐν μέρει πάρεστί μοι,
Κοὐδείς μ' ἀπώσει πρόσθεν, ὥσπερ ἄλλοθεν.
Ἡμῖν δὲ καὶ τῷδ' οὐδέν ἐστιν ἐν μέρει·
Ἐπεὶ γὰρ Ἄργους οὐδὲν ἔσθ' ἡμῖν ἔτι,
Ψήφῳ δοκῆσαν, ἀλλὰ φεύγομεν πάτραν·
Πῶς ἂν δικαίως, ὡς Μυκηναίους, ἄγοι
Ὧδ' ὄντας ἡμᾶς, οὓς ἀπήλασεν χθονός;
Ξένοι γὰρ ἐσμέν· ἢ τὸν Ἑλλήνων ὅρον
Φεύγειν δικαιοῦτ', ὅστις ἂν τ' Ἄργος φύγοι;

Οὔκουν Ἀθήνας γ'· οὐ γὰρ, Ἀργείων φόβῳ,
Τοὺς Ἡρακλέους παῖδας ἐξελῶσι γῆς.
Οὐ γάρ τι Τραχίς ἐστιν, οὐδ' Ἀχαϊκὸν
Πόλισμ', ὅθεν σὺ τούσδε, τῇ δίκῃ μὲν οὔ,
Τὸ δ' Ἄργος ὀγκῶν, οἷάπερ καὶ νῦν λέγεις,
Ἤλαυνες ἱκέτας βωμίους καθημένους.
Εἰ γὰρ τόδ' ἔσται, καὶ λόγους κρίνουσι σοὺς,
Οὐκ οἶδ' Ἀθήνας τάσδ' ἐλευθέρας ἔτι.
Ἀλλ' οἶδ' ἐγὼ τὸ τῶνδε λῆμα καὶ φύσιν·
Θνήσκειν θελήσουσ'· ἡ γὰρ αἰσχύνη βάρος
Τοῦ ζῆν παρ' ἐσθλοῖς ἀνδράσιν νομίζεται.
Πόλιν μὲν ἀρκεῖ· καὶ γὰρ οὖν ἐπίφθονον
Λίαν γ' ἐπαινεῖν ἐστί· πολλάκις δὲ δὴ
Κᾀυτὸς βαρυνθεὶς οἶδ', ἄγαν γ' αἰνούμενος.
Σοὶ δ' ὡς ἀνάγκη τούσδε, βούλομαι φράσαι,
Σώζειν, ἐπείπερ τῆσδε προστατεῖς χθονός.
Πιτθεὺς μέν ἐστι Πέλοπος· ἐκ δὲ Πιτθέως,
Αἴθρα· πατὴρ δ' ἐκ τῆσδε γεννᾶται σέθεν
Θησεύς· πάλιν δὲ τῶνδ' ἄνειμί σοι γένος.
Ἡρακλέης ἦν Ζηνὸς Ἀλκμήνης τε παῖς·
Κείνη δὲ Πέλοπος θυγατρός· αὐτανεψίω
Πατὴρ ἂν εἴη σός τε, καὶ τούτων, γεγώς.
Γένους μὲν ἥκεις ὧδε τοῖσδε, Δημοφῶν.

Urbem fugiat? nequaquam certe ex Athenis. Haud
Enim Argivorum metu Herculis liberos expellent *ex*
Sua terra. Haud enim Trachis, nec Achaiïcum hoc
Eſt oppidum, unde tu iſtos, nullo quidem jure,
Sed Argos amplificans, qualia nunc quoque dicis,
Expuliſti ſupplices ad aram ſedentes. Si enim
Hoc fiat, *et* ſecundum tua verba ſententiam tulerint,
Non novi haſce Athenas liberas amplius *eſſe*.
Sed novi ego horum animum et ingenium:
Mori *potius* volent. Dedecus enim plus quam
Vita apud bonos viros putatur.
Satis de Urbe. Eſt enim invidioſum
Immodice praedicare: ſaepe enim jam
Memini me quoque gravatum eſſe, quando nimium
Laudatus fuerim. Quid autem *ſit* neceſſe tibi, hoc
Volo dicere, hos ſervare, quandoquidem huic terrae
Praees. Pittheus enim *filius* eſt Pelopis: ex Pittheo
Vero Aethra: pater vero ex hac naſcitur tuus
Theſeus. Rurſus vero *repeto tibi* horum genus.
Hercules erat Jovis, et Alcmenae filius:
Haec vero Pelopis filia nata. *Ergo* conſobrini
Fuerunt tuus pater, et horum pater.
Attingis igitur ſic hos genere, o Demophoon.

Quae vero praeterea extra cognationem te oportet
Perſolvere filiis, dicam tibi: Aio enim quondam
Socius navigationis fuiſſe Theſeo, cum horum Patri
Eſſem ſcutifer, ad *petendum* baltheum, qui fuit cauſa
Multarum-caedium. Reduxit autem *idem* ex atris
Plutonis receſſibus patrem tuum. Hoc tota Graecia
Teſtatur, pro quibus reddere te iſti viciſſim poſtulant
Gratiam, ne dedantur, neque per vim a Diis tuis
Avulſi, expellantur *ex hoc* agro: tibi enim privatim
Hoc turpe *fuerit* et dehoneſtat in urbe ſupplices,
Exules, cognatos, Hei mihi malorum *cauſa*:
Intuere eos, vide eos, trahi per vim.
Sed rogo te, et ſertis celo, per tuas manus,
Et per mentum, ne negligas
Filios Herculis, in manus *tuas* accipiens.
Sis vero illis cognatus, ſis amicus,
Pater, frater, dominus: omnia enim haec ſunt
Potiora, quam in Argivorum poteſtatem venire.
C. Miſertus ſum ego audiens haſce calamitates, o rex,
Nobilitatem vera a Fortuna vinci
Nunc maxime vidi. Iſti enim e patre
Optimo nati, ſunt infelices praeter ſua merita.
D. Tres calamitatis viae me cogunt,

Ἃ δ' ἐκτὸς ἤδη τοῦ προσήκοντός σε δεῖ
Τίσαι λέγω σοι παισί· φημὶ γάρ ποτε
Σύμπλους γενέσθαι, τῶνδ' ὑπασπίζων πατρὶ,
Ζωστῆρα Θησεῖ τὸν πολυκτόνον μέτα,
Ἅιδου τ' ἐρεμνῶν ἐξανήγαγεν μυχῶν
Πατέρα σόν· Ἑλλὰς πᾶσα τοῦτο μαρτυρεῖ.
Ὧν ἀντιδοῦναί σ' οἵδ' ἀπαιτοῦσιν χάριν,
Μήτ' ἐκδοθῆναι, μήτε, πρὸς βίαν θεῶν
Τῶν σῶν ἀποσπασθέντες, ἐκπεσεῖν χθονός.
Σοὶ γὰρ τόδ' αἰσχρὸν χωρὶς, ἔν τε πόλει κακὸν,
Ἱκέτας, ἀλήτας, συγγενεῖς· οἴμοι κακῶν
Βλέψον πρὸς αὐτοὺς, βλέψον· ἕλκεσθαι βίᾳ.
Ἀλλ' ἄντομαί σε, καὶ καταστέφω, χεροῖν
Καὶ πρὸς γενείου, μηδαμῶς ἀτιμάσῃς
Τοὺς Ἡρακλείους παῖδας εἰς χέρας λαβών.
Γενοῦ δὲ τοῖσδε συγγενὴς, γενοῦ φίλος,
Πατὴρ, ἀδελφὸς, δεσπότης· ἅπαντα γὰρ
Ταῦτ' ἐστὶ κρείσσω, πλὴν ὑπ' Ἀργείοις πεσεῖν.
Χ. Ὤ'κτειρ', ἀκούσας τάσδε συμφορὰς, ἄναξ.
Τὴν δ' εὐγένειαν τῆς τύχης νικωμένην
Νῦν δὴ μάλιστ' ἐσεῖδον· οἵδε γὰρ, πατρὸς
Ἐσθλοῦ γεγῶτες, δυστυχοῦσ' ἀναξίως.
Δ. Τρισσαί μ' ἀναγκάζουσι συμφορᾶς ὁδοὶ,

Ἰόλαε, τοὺς σοὺς μὴ παρώσασθαι ξένους.
Τὸ μὲν μέγιστον, Ζεύς, ἐφ' οὗ σὺ βώμιος
Θακεῖς, νεοσσῶν τήνδ' ἔχων πανήγυριν·
Τὸ συγγενές τε, καὶ τὸ προὐφείλειν καλῶς
Πράσσειν παρ' ἡμῶν τούσδε, πατρῴαν χάριν,
Τό, τ' αἰσχρὸν, οὗπερ δεῖ μάλιστα φροντίσαι.
Εἰ γὰρ παρήσω τόνδε συλᾶσθαι βίᾳ
Ξένου πρὸς ἀνδρὸς βωμὸν, οὐκ ἐλεύθερον
Οἰκεῖν δοκήσω γαῖαν, Ἀργείοις δ' ὄκνῳ
Ἱκέτας προδοῦναι· καὶ τάδ' ἀγχόνης πέλας.
Ἀλλ' ὤφελες μὲν εὐτυχέστερον μολεῖν·
Ὅμως δὲ καὶ νῦν μὴ τρέσῃς, ὅπως σέ τις
Σὺν παισὶ βωμοῦ τοῦδ' ἀποσπάσῃ βίᾳ.
Σὺ δ', Ἄργος ἐλθὼν, ταῦτά τ' Εὐρυσθεῖ φράσον,
Πρὸς τοῖσδέ τ', εἴ τι τοῖσί γ' ἐγκαλεῖ ξένοις,
Δίκης κυρήσει· τούσδε δ' οὐκ ἄξεις ποτέ.
Κ. Οὐκ, ἢν δίκαιον ᾖ τι, καὶ νικῶ λόγῳ;
Δ. Καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίᾳ;
Κ. Οὔκουν ἐμοὶ τόδ' αἰσχρὸν, ἀλλὰ σοὶ βλάβος.
Δ. Ἐμοί γ', ἐὰν σοι τούσδ' ἐφέλκεσθαι μεθῶ.
Κ. Σὺ δ' ἐξόριζε· κᾆτ' ἐκεῖθεν ἄξομεν.
Δ. Σκαιὸς πέφυκας, τοῦ θεοῦ πλεῖον φρονῶν.
Κ. Δεῦρ', ὡς ἔοικε, τοῖς κακοῖσι φευκτέον.

O Iolae, non repellere tuus hoſpites: quod quidem
Maximum *eſt*, Jupiter, ad cujus aram tu
Sedes, hunc coetum habens pullorum;
Deinde cognatio, et quod prius debeam, ut
Proſpera Fortuna hi per me utantur, patris cauſa.
Denique ipſa turpitudo, de qua maxime oportet
Eſſe ſolicitum. Si enim permittam hanc vi ſpoliari
Aram ab homine peregrino, non liberam
Videbor habitare terram, Argivis autem metu
Prodere ſupplices; proxime autem ad ſuſpendium
Accedit res. Utinam vero tuus adventus fuiſſet
Felicior. Sed tamen ne nunc quidem trepida, ne te
Aliquis cum pueris avellat ab hac ara per vim.
Tu igitur reverſus Argos, dic et iſta Euryſtheo:
Praeterea vero, ſi quod crimen his hoſpitibus
Objiciendum habet, jus *ſuum* conſequetur: hos vero
Tu nunquam *hinc* abduces. C. Annon, ſi juſtum ſit,
Et ratione vincam? D. At quomodo juſtum *eſt*
Supplicem abducere vi? C. Ergo mihi hoc turpe, non
Tibi damnum *feret*. D. Imo mihi, ſi patiar te iſtos
Abſtrahere. C. Tu igitur relega *eos* ex tuis finibus, et
Tunc *eos* illinc abducemus. D. Ineptus es, qui Deo
Plus ſapis. C. Huc, ut videtur, malis fugiendum *eſt*

D. Omnibus *eſt* commune perfugium ara Deorum.

C. Haec non videbantur pariter Mycenaeis.

C. Nonne ego hic loci ſum dominus?

C. Nihil laedens *Mycaeneos*, ſi ſapis.

D. Laedimini *ergo*, quod ego non polluam deos?

C. Non cupio te bellum movere Argivis.

D. Et ego ſic ſum affectus: iſtos vero non dimittam.

C. Ego tamen abducam meos correptos.

D. Haud igitur Argos facile redibis.

C. At periculum faciens, hoc cito ſciam.

D. Plorans igitur hoſce attinges, idque ſtatim.

C. Ne per deos aude percutere praeconem.

D. Niſi profecto iſte praeco modeſte ſe gerere diſcat.

C. Abi tu: tu vero o rex, ne attingas hunc.

C. Abeo: unius enim manus infirma *eſt* pugna.
Veniam autem multum Martis Argivi adducens
Aereum cuſpidem huc. Innumeri autem me
Expectant clypeati *milites*, Euryſtheuſque Rex
Ipſe dux exercitus. Alcathoi vero ad extremos,
Expectans hinc *reſponſa*, fines manet. Ubi autem
Audierit tuam inſolentiam, terribilis apparebit
Tibi, et civibus, et huic terrae, et arboribus:
Fruſtra enim haberemus juventutem adeo

Δ. Ἅπασι κοινὸν ῥῦμα δαιμόνων ἕδρα.
Κ. Ταῦτ' οὐ δοκήσει τοῖς Μυκηναίοις ἴσως.
Δ. Οὐκοῦν ἐγὼ τῶνδ' ἐνθάδ' εἰμὶ κύριος.
Κ. Βλάπτων ἐκείνους μηδὲν, ἂν σὺ σωφρονῇς.
Δ. Βλάπτεσθ', ἐμοῦ γε μὴ μιαίνοντος θεούς;
Κ. Οὐ βούλομαί σε πόλεμον Ἀργείοις ἔχειν.
Δ. Κἀγὼ τοιοῦτος· τῶνδε δ' οὐ μεθήσομαι.
Κ. Ἄξω γε μέντοι τοὺς ἐμοὺς ἐγὼ λαβών.
Δ. Οὐκ ἆρ' ἐς Ἄργος ῥᾳδίως ἄπει πάλιν.
Κ. Πειρώμενος δὴ τοῦτό γ' αὐτίκ' εἴσομαι.
Δ. Κλαίων ἄρ' ἅψῃ τῶνδε, κοὐκ ἐς ἀμβολάς.
Χ. Μὴ πρὸς θεῶν κήρυκα τολμήσεις θένειν.
Δ. Εἰ μή γ' ὁ κῆρυξ σωφρονεῖν μαθήσεται.
Χ. Ἄπελθε, καὶ σὺ τοῦδε μὴ θίγῃς, ἄναξ.
Κ. Στείχω· μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη·
Ἥξω δὲ πολλὴν Ἄρεος Ἀργείου λαβὼν
Πάγχαλκον αἰχμὴν δεῦρο· μυρίοι δέ με
Μένουσιν ἀπιστῆρες, Εὐρυσθεύς τ' ἄναξ
Αὐτὸς στρατηγῶν· Ἀλκάθου δ' ἐπ' ἐσχάτοις,
Καραδοκῶν τἀνθένδε, τέρμασιν μένει·
Λαμπρὸς δ', ἀκούσας σὴν ὕβριν, φανήσεται
Σοὶ, καὶ πολίταις, γῇ τε τῇδε, καὶ φυτοῖς.
Μάτην γὰρ ἥβην ὧδέ γ' ἂν κεκτώμεθα

Πολλὴν ἐν Ἄργει. μή σε τιμωρούμενοι.
Δ. Φθείρου· τὸ σὸν γὰρ Ἄργος οὐ δέδοικ' ἐγώ.
Ἐνθένδε δ' οὐκ ἔμελλες, αἰσχύνας ἐμὲ,
Ἄξειν βίᾳ τούσδ'· οὐ γὰρ Ἀργείων πόλει
Ὑπήκοον τήνδ', ἀλλ' ἐλευθέραν, ἔχω.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χ. Ὥρα προνοεῖν, πρὶν ὅροις πελάσαι
Στρατὸν Ἀργείων· μάλα δ' ὀξὺς Ἄρης
Ὁ Μυκηναίων,
Ἐπὶ τοῖσι δὲ δὴ μᾶλλον ἔτ' ἢ πρίν.
Πᾶσι γὰρ οὗτος κήρυξι νόμος,
Δίς τόσα πυργοῦν τῶν γινομένων·
Πόσα νιν λέξειν βασιλεῦσι δοκεῖς;
Ὡς δείν' ἔπαθεν, καὶ παρὰ μικρὸν
Ψυχὴν ἦλθεν διακναῖσαι.

ΙΑΜΒΟΙ.

Ι. Οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας,
Ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
Γαμεῖν τ' ἀπ' ἐσθλῶν· ὃς δὲ, νικηθεὶς πόθῳ,
Κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω,
Τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπεῖν.
Τὸ δυστυχὲς γὰρ ἡ ὐγένει' ἀμύνεται
Τῆς δυσγενείας μᾶλλον· ἡμεῖς γὰρ, κακῶν

Multam Argis, niſi te puniremus.

D. Abi in malam rem: tuum enim Argos non

Formido. Hinc vero nunquam, me dedecorans,

Vi abduces hos. Non enim Argivorum urbi

Subditam hanc, ſed liberam habeo.

ANAPAESTI.

C. Tempus *eſt* proſpicere, priuſquam ad fines

Appropinquet exercitus Argivorum: admodum

Enim acer Mars *eſt* Mycenaeorum;

Ob haec vero, multo magis quam antehac.

Omnibus enim praeconibus hic *eſt mos*,

Ut bis tantum exaggerent *res* quam geſtae ſint.

Quam multa putas ipſum regibus eſſe dicturum?

Quod ſit atrocia paſſus, et pene

Venerit in periculum amittendae vitae.

IAMBI.

I. Nullum eſt pulchrius decus liberis,

Quam ex patre bono fortique natos eſſe,

Et e conjugibus bonis. Qui vero, victus libidine,

Conjunxit *ſe* cum malis, *illum* ego non laudabo,

Quod relinquat liberis dedecus propter voluptatem.

Infelicitatem enim generis-nobilitas propulſat,

Magis quam generis ignobilitas. Nos enim malorum

In extrema lapſi, invenimus amicos
Et cognatos hos, qui, ex tanta populis culta
Graeciae terrà, hos ſoli tutati ſunt.
Date vos, pueri, eis dextram manum, date
Et vos pueris; et prope accedite,
O pueri: periculum amicorum fecimus.
Si quando igitur contigerit vobis reditus in patriam,
Et domos habueritis et honores patris,
Putate ſemper *hos* ſervatores et amicos,
Et nunquam adverſus *horum* terram tollite haſtam
Hoſtilem, memores horum *beneficiorum*, ſed
Chariſſimam civitatem omnium putate. Coli ſane a
Vobis digni ſunt. Qui terram tantam et Palaſgicum
Populum noſtri vice habere hoſtes praeoptarunt,
Videntes mendicos, errones: ſed tamen
Non dediderunt, neque expulerunt ex *ſua* terra.
Ego vero et vivens et mortuus, quando moriar,
O amice, magnis laudibus, accedens Theſeo,
Extollam tu: et haec dicens illum delectabo,
Quod et humaniter exceperis *nos*, et opem tuleris
Liberis Herculeis, et quod nobilis per Graeciam
Servas paternam gloriam. Ex bonis enim cum natus
Sis, non es deterior patre,

Εἰς τὔσχατον πεσόντες, εὕρομεν φίλυς
Καὶ ξυγγενεῖς τύσδ', οἳ, τοσῆσδ' οἰκυμένης
Ἑλληνίδος γῆς, τῶνδε προὔςησαν μόνοι.
Δότ', ὦ τέκν', αὐτοῖς χεῖρα δεξιὰν, δότε
Ὑμεῖς τὲ παισὶ, καὶ πέλας προσέλθετε.
Ὦ παῖδες, εἰς μὲν πεῖραν ἤλθομεν φίλων.
Ἢν δ' οὖν πόθ' ἡμῖν νόςος εἰς πάτραν φανῇ,
Καὶ δώματ' οἰκήσητε, καὶ τιμὰς πατρὸς,
Σωτῆρας αἰεὶ καὶ φίλυς νομίζετε·
Καὶ μή ποτ' εἰς γῆν ἐχθρὸν αἴρεσθαι δόρυ,
Μεμνημένοι τῶνδ'· ἀλλὰ φιλτάτην πόλιν
Πασῶν νομίζετ'· ἄξιοι γ' ὑμῖν σέβειν,
Οἳ γῆν τοσήνδε, καὶ Πελασγικὸν λεὼν,
Ἡμῶν ἀπηλλάξαντο πολεμίυς ἔχειν,
Πτωχοὺς ἀλήτας εἰσορῶντες· ἀλλ' ὅμως
Οὐκ ἐξέδωκαν, ὐδ' ἀπήλασαν χθονός.
Ἐγὼ δὲ καὶ ζῶν, καὶ θανὼν, ὅταν θάνω,
Πολλῷ σ' ἐπαίνῳ, Θησέως, ὦ ταν, πέλας,
Ὑψηλὸν αἴρω, καὶ λέγων τάδ', εὐφρανῶ·
Ὡς εὖ τ' ἐδέξω, καὶ τέκνοισιν ἤρκεσας
Τοῖς Ἡρακλείοις, εὐγενὴς δ' ἀν' Ἑλλάδα
Σώζεις πατρῴαν δόξαν· ἐξ ἐσθλῶν δὲ φὺς,
Οὐδὲν κακίων τυγχάνεις γεγὼς πατρὸς,

Παύρων μετ' ἄλλων· ἕνα γὰρ ἐν πολλοῖς ἴσως
Εὕροις ἂν, ὅςις ἐςὶ μὴ χείρων πατρός.
Χ. Ἀεί ποθ' ἥδε γαῖα τοῖς ἀμηχάνοις
Σὺν τῷ δικαίῳ βύλεται προσωφελεῖν.
Τοίγαρ πόνυς δὴ μυρίυς ὑπὲρ φίλων
Ἤνεγκε· καὶ νῦν τόνδ' ἀγῶν' ὁρῶ πέλας.
Δ. Σοί τ' εὖ λέλεκται· καὶ τὰ τῶνδ' αὐχῶ, γέρον,
Τοιαῦτ' ἔσεσθαι· μνημονεύσεθ' ἡ χάρις·
Κἀγὼ μὲν ἀςῶν σύλλογον ποιήσομαι.
Τάξω δ' ὅπως ἂν τὸν Μυκηναίων ςρατὸν
Πολλῇ δέχωμαι χειρί· πρῶτα μὲν σκοπὺς
Πέμψω πρὸς αὐτὸν, μὴ λάθῃ με προσπεσών·
Ταχὺς γὰρ Ἄργει πᾶς ἀνὴρ βοηδρόμος.
Μάντεις τ' ἀθροίσας, θύσομαι· σὺ δ' εἰς δόμυς
Σὺν παισὶ χώρει, Ζηνὸς ἐσχάραν λιπών.
Εἰσὶν γὰρ οἵ συ, κἂν ἐγὼ θυραῖος ὦ,
Μέριμναν ἕξυσ'· ἀλλ' ἴθ' εἰς δόμυς, γέρον.
Ι. Οὐκ ἂν λίποιμι βωμόν· ἑζόμεσθα δὴ
Ἱκέται μένοντες ἐνθάδ' εὖ πρᾶξαι πόλιν·
Ὅταν δ' ἀγῶνος τῦδ' ἀπαλλαχθῇς καλῶς,
Ἴμεν πρὸς οἴκυς· θεοῖσι δ' ὐ κακίοσι
Χρώμεσθα συμμάχοισιν Ἀργείων, ἄναξ·

Cum paucis aliis. Unum enim inter multos forte
Invenias, qui non ſit deterior patre.
C. Semper haec terra calamitoſis
In cauſa juſta vult opem ferre. Innumeros enim
Jam labores pro amicis tulit; et nunc
Hoc certamen video prope *nos eſſe.*
D. Et a te recte dictum eſt: et confido, ſenex,
horum officia talia
Fore; in memoria habebitur hoc beneficium.
Et ego quidem civium conventum faciam,
Et ordinabo, ut Mycenaeum exercitum poſſim
Excipere cum magnis copiis. Primum quidem
Speculatores mittam ad ipſum, ne me inſcio *in nos*
Irruat. Quilibet enim vir Argis velox bellator eſt,
Et ſacrificabo vates congregans. Tu vero in aedes
Cum pueris ingredere, relinquens aram Jovis.
Sunt enim qui tui, etiamſi ego foris fuero,
Curam habebunt. Quamobrem in aedes ito, ſenex.
I. Non relinquam aram; ſedemus utique ſupplices,
Ut civitas bene rem gerat, hic manentes.
Ubi autem ab hoc certamine praeclare abieris,
Tunc ibimus in aedes. Diis autem non deterioribus,
Quam Argivi, ſociis utimur, o Rex.

Nam illis quidem praeſt Juno, conjunx Jovis,
Nobis vero Minerva. Dico autem ad felicitatem
Et hoc deos habere praeſtantiores:
Pallas enim non patietur ſe vinci.

E P O D I C A.

S T R O P H E.

C. Si tu magnifice gloriaris, alii
Non *ideo* te plus curant,
Hoſpes, o Argis *huc* profecte.
Magniloquentia ſaltem meam
Mentem non terrebis.
Nunquam adeo magnis,
Et pulchre-choreas-agentibus Athenis *hoc*
Accidat; tu vero amens, et *ille*, qui Argis
Stheneli *filius*, *eſt* tyrannus:

A N T I S T R O P H E.

Qui urbem profectus *in* aliam
Non minorem Argis,
Deorum ſupplices exules,
Meaeque terrae adhaerentes,
Peregrinus exiſtens, violenter
Trahis: non cedens regibus,
Neque quidquam aliud juſti dicens.

Τῶν μὲν γὰρ Ἥρα προςατεῖ Διὸς δάμαρ,
Ἡμῶν δ' Ἀθηνᾶ· φημὶ δ' εἰς εὐπραξίαν
Καὶ τοῦθ' ὑπάρχειν, θεῶν ἀμεινόνων τυχεῖν·
Νικωμένη γὰρ Παλλὰς οὐκ ἀνέξεται.

ΕΠΩΔΙΚΑ.

ΣΤΡΟΦΗ.

Χ. Εἰ σὺ μέγ' αὐχεῖς, ἕτεροι
Σοῦ πλέον οὐ μέλονται,
Ξεῖν', Ἀργόθεν ἐπελθών.
Μεγαληγορίαισι δέ γ' ἐμὰς
Φρένας οὐ φοβήσεις.
Μήπω ταῖς μεγάλαισιν οὕτω
Καὶ καλλιχόροις Ἀθάναις
Εἴη· σὺ δ' ἄφρων, ὅ τ' Ἄργει
Σθενέλου τύραννος·

ΑΝΤΙΣΤΡΟΦΗ.

Ὃς, πόλιν ἐλθὼν ἑτέραν,
Οὐδὲν ἐλάσσον' Ἄργους,
Θεῶν ἱκτῆρας ἀλάτας,
Καὶ ἐμᾶς χθονὸς ἀντεχομένους,
Ξένος ὢν, βιαίως
Ἕλκεις, οὐ βασιλεῦσιν εἴξας,
Οὐκ ἄλλο δίκαιον εἰπών.

Ποῦ ταῦτα καλῶς ἂν εἴη
Πάρα γ' εὐφρονοῦσιν;

ΕΠΩΔΟΣ.

Εἰρήνα μὲν ἔμοι γ' ἀρέσκει,
Σὺ δ', ὦ κακόφρων ἄναξ,
Λέγω, εἰ πόλιν ἥξεις,
Οὐχ οὕτως ἃ δοκεῖς κυρήσεις·
Οὐ σοὶ μόνῳ ἔγχος, οὐδ' ἰ-
τέα κατάχαλκός ἐστιν.
Ἀλλ' οὐ πολέμων ἐραστὰς,
Μή μοι δορὶ συναράξης
Τὰν εὐχαρίστως ἔχουσαν
Πόλιν, ἀλλ' ἀνάσχου.

ΙΑΜΒΟΙ.

Ι. Ὦ παῖ, τί μοι, σύνοιαν ὄμμασι φέρων,
Ἥκεις; νέον τι πολεμίων λέγεις πέρι;
Μέλλουσιν, ἢ πάρεισιν, ἢ τί πυνθάνη;
Οὐ γάρ τι μὴ ψεύσῃ γε κήρυκος λόγος.
Ὁ γὰρ στρατηγὸς, εὐτυχὴς τὰ πρὸς θεῶν
Ἐστὶν, σάφ' οἶδα, καὶ μάλ' οὐ σμικρὸν φρονῶν
Εἰς τὰς Ἀθήνας· ἀλλὰ τῶν φρονημάτων
Ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.
Δ. Ἥκει στράτευμ' Ἀργεῖον, Εὐρυσθεύς τ' ἄναξ·

Ubinam haec honeſte ſint
Saltem apud ſanae mentis homines

EPODUS.

Pax mihi quidem placet.
Tu vero, o ſtulte rex,
Dico, ſi in terram venias,
Non ſic, quae putas, conſequeris.
Non tibi ſoli haſta, ne-
que clypeus aere munitus eſt.
Sed, o belli avide,
Ne Marte mihi collidas
Amice ſe habentem
Civitatem, ſed inhibe te.

IAMBI.

I. O fili, quid mihi moerorem oculis ferens
Venis? aliquid novi dicis de hoſtibus?
Cunctantur, an adſunt, aut quid audis?
Haud enim mendax fuerit praeconis ſermo, i. e.
Coprei. Imperator enim antea felix exiſtens
Feſtinat, bene ſcio, nec parvos animos gerens
Adverſus Athenas. Sed ſpiritus
Nimis ſuperbos Jupiter punit.
D. Venit exercitus Argivus, et Euryſtheus rex:

Ego eum ipſe vidi: oportet enim virum
Qui dicit ſe recte bellum adminiſtrare ſcire,
Non per nuncios videre hoſtes.
In hos tamen terrae campos nondum immiſit
Exercitum, collis ſupercilio confidens
Speculatur. Hoc tibi ex conjectura dico,
Qua via nunc exercitum armatum ſine praelio
Adducat, et in tuto collocat hic agri.
Mea quidem omnia recte ſunt jam conſtituta,
Et urbs in armis, et hoſtiae paratae
Sunt, quibus Diis has oportet immolari,
Averrunca hoſtium et urbi ſalutifera.
Luſtratur autem civitas a vatibus.
Omnes autem vates oraculorum congregans in
Unum, exploravi et vulgata et arcana
Vetera oracula, ſalutaria huic terrae.
Et *in* caeteris quidem *rebus* diverſa ſunt oraculorum
Multa. Una vero *in re* omnium eadem eminet
Sententia. Mactare jubent me virginem puellam
Cereri, quae ſit ex matre nobili nata, ego vero
Habeo quidem, ut vides, promptitudinem tantam
Erga vos: filiam vero neque meam occidam,
Neque alium civium meorum cogam

Ἐγώ νιν αὐτὸς εἶδον· ἄνδρα δὲ χρεὼν,
Ὅστις στρατηγεῖν φησ' ἐπίστασθαι καλῶς,
Οὐκ ἀγγέλοισι τοὺς ἐναντίους ὁρᾷν.
Πεδία μὲν οὖν γῆς εἰς τάδ' οὐκ ἐφῆκέ πω
Στρατὸν, λεπαίαν δ' ὀφρύην καθήμενος,
Σκοπεῖ· δόκησιν δὴ τόδ' ἂν λέγοιμί σοι·
Ποίᾳ προσάξει στρατόπεδον τανῦν δορὸς,
Ἐν ἀσφαλεῖ τε τῇδ' ἱδρύσεται χθονός.
Καὶ τἀμὰ μέντοι πάντ' ἄρηρ' ἤδη καλῶς·
Πόλις τ' ἐν ὅπλοις, σφάγιά θ' ἡτοιμασμένα
Ἕστηκεν, οἷς χρὴ ταῦτα τέμνεσθαι θεῶν.
Θυηπολεῖται δ' ἄστυ μάντεων ὕπο,
Τροπαῖά τ' ἐχθρῶν, καὶ πόλει σωτηρία.
Χρησμῶν δ' ἀοιδοὺς πάντας εἰς ἓν ἁλίσας,
Ἤλεγξα, καὶ βέβηλα, καὶ κεκρυμμένα,
Λόγια παλαιὰ, τῇδε γῇ σωτήρια.
Καὶ τῶν μὲν ἄλλων διάφορ' ἐστὶ θεσφάτων
Πόλλ'· ἓν δὲ πάντων γνῶμα ταὐτὸν ἐμπρέπει.
Σφάξαι κελεύουσίν με παρθένον κόρην
Δήμητρί γ', ἥτις ἐστὶ πατρὸς εὐγενοῦς.
Ἐγὼ δ' ἔχω μὲν, ὡς ὁρᾷς, προθυμίαν
Τοσήνδ' ἐς ὑμᾶς, παῖδα δ' οὔτ' ἐμὴν κτανῶ,
Οὔτ' ἄλλον ἀστῶν τῶν ἐμῶν ἀναγκάσω

Ἄκοντ'· ἑκὼν δὲ τίς κακῶς οὕτω φρονεῖ,
Ὅστις τὰ φίλτατ' ἐκ χερῶν δώσει τέκνα;
Καὶ νῦν, πικρὸν ὂν, συστάσεις ἂν εἰσίδοις,
Τῶν μὲν λεγόντων, ὡς δίκαιον ἦ ξένοις
Ἱκέταις ἀρήγειν· τῶν δὲ μωρίαν ἐμὴν
Κατηγορούντων· ἢν δὲ μὴ δράσω τόδε,
Οἰκεῖος ἤδη πόλεμος ἐξαρτύεται.
Ταῦτ' οὖν ὅρα σὺ, καὶ συνεξεύρισκ', ὅπως
Αὐτοί τε σωθήσεσθε, καὶ πέδον τόδε,
Κἀγὼ πολίταις μὴ διαβληθήσομαι.
Οὐ γὰρ τυραννίδ' ὥστε βαρβάρων ἔχω,
Ἀλλ', ἢν δίκαια δρῶ, δίκαια πείσομαι.
Χ. Ἀλλ' ἦ πρόθυμον οὖσαν οὐκ ἐᾷ θεὸς
Ξένοις ἀρήγειν τήνδε χρήζουσαν πόλιν.
Ι. Ὦ τέκν', ἔοιγμεν ναυτίλοισιν, οἵτινες,
Χειμῶνος ἐκφυγόντες ἄγριον μένος,
Εἰς χεῖρα γῇ συνῆψαν· εἶτα χερσόθεν
Πνοαῖσιν ἠλάθησαν εἰς πόντον πάλιν.
Οὕτω δὲ χ' ἡμεῖς τῆσδ' ἀπωθούμεσθα γῆς,
Ἤδη πρὸς ἀκταῖς ὄντες, ὡς σεσωσμένοι.
Οἴμοι· τί δῆτ' ἔτερψας ὦ τάλαινά με
Ἐλπὶς τότ', οὐ μέλλουσα διατελεῖν χάριν;
Συγγνωστὰ γάρ τοι καὶ τὰ τοῦδ', εἰ μὴ θέλοι

Volentem. Volens vero quis adeo deſipit,
Qui chariſſimos liberos ex manibus *ad necem* dare
Velit? et nunc diſcordantium coetus videas;
Horum quidem dicentium, quod aequum ſit
Hoſpitibus ſupplicibus opem ferre; aliorum vero
Stultitiam meam accuſantium. Niſi vero hoc
Compeſcuero, bellum domeſticum jam praeparatur.
Haec igitur tu vide, et ſimul excogita, quomodo
Ipsique ſervemini, et haec regio,
Et ego non civium gratia excidam.
Non enim tyrannidem ut barbarorum obtineo:
Sed ſi juſta faciam, juſta patiar.
C. An ergo promptam exiſtentem non ſinit deus
Hoſpitibus opem ferre hanc civitatem quamvis
Cupientem? I. O filii, ſimiles ſumus navigantibus,
Qui cum effugerunt ſaevam tempeſtatis vim,
Et appulerunt ad terram prope, deinde a littore
Flatibus rejecti ſunt rurſus in mare.
Sic et nos depellimur ex hac terra,
Jam exiſtentes ad littus, tanquam ſalvi.
Hei mihi! Quid igitur me oblectaſti, o miſera
Spes tunc, cum non eſſes ad exitum perductura
Beneficium *hoc?* veniam enim merentur et hujus *res,*

Si nolit occidere civium filias: laudo autem
Et *officia mihi praeſtita* hic, ſi modo Diis placet
Haec pati me: non ſane vobis peribit gratia.
O filii, vobis vero quid conſulam non habeo.
Quo nos vertemus? Quis enim Deorum non ſertis
Supplicatoriis aditus eſt? *Ad* quod etiam terrae
Propugnaculum non venimus? Peribimus, o filii;
Dedemur. Et ego quidem, ſi me oportet mori, nihil
Curo; niſi ſi quid oblectabo meos inimicos moriens.
Vos vero deploro et miſeror, o filii,
Et Alcmenam vetulam matrem patris.
O infelix propter longam vitam tuam!
Miſer et ego, qui fruſtra multum laboravi!
Oportebat igitur, oportebat nos in hominis inimici
Manus delapſos, turpiter et miſere amittere vitam.
Sed fac mihi noſtin' quid? Non enim omnino
Excidit mihi ſpes horum ſalutis. Me dedito Argivis
Pro iſtis pueris, o rex, et non ſubeas tu periculum,
Et ſerventur mihi liberi *iſti*. Non oportet *me* amare,
Meam animam: eat. Euryſtheus enim vellet, me
Praecipue tenens, Herculeum ſocium contumelia
Afficere: vecors enim vir eſt. Sapientibus vero *eſt*
Optandum, ut cum ſapiente inimicitias ſuſceptas

Κτείνειν πολιτῶν παῖδας· αἰνέσας δ' ἔχω
Καὶ τἀνθάδ', εἰ θεοῖσι δὴ δοκεῖ τάδε
Πράσσειν ἔμ'· οὔτοι σοί γ' ἀπόλλυται χάρις.
Ὦ παῖδες, ὑμῖν δ' ὐκ ἔχω τὶ χρήσομαι.
Ποῖ τρεψόμεσθα; τίς γὰρ ἄστεπτος θεῶν;
Ποῖον δὲ γαίας ἕρκος ὐκ ἀφίγμεθα;
Ὀλοῦμεθ', ὦ τέκν'· ἐκδοθησόμεσθα δή.
Κἀμοὶ μὲν οὐδὲν, εἴ με χρὴ θανεῖν, μέλει,
Πλὴν εἴ τι τέρψω τὺς ἐμὺς ἐχθρὺς θανών.
Ὑμᾶς δὲ κλαίω, καὶ κατοικτείρω, τέκνα,
Καὶ τὴν γεραιὰν μητέρ' Ἀλκμήνην πατρός.
Ὦ δυστάλαινα, τῦ μακρῦ βίυ σέθεν·
Τλήμων δὲ κἀγὼ, πολλὰ μοχθήσας μάτην.
Χρῆν, χρῆν ἄρ' ἡμᾶς, ἀνδρὸς εἰς ἐχθρῦ χέρας
Πεσόντας, αἰσχρῶς καὶ κακῶς λιπεῖν βίον.
Ἀλλ' οἶσθ' ὅ μοι σύμπραξον; ὐχ ἅπασι γὰρ
Πέφευγεν ἐλπὶς τῶνδέ μοι 'σωτηρίας.
Ἔμ' ἔκδος Ἀργείοισιν ἀντὶ τῶνδ', ἄναξ,
Καὶ μήτε κινδύνευε, σωθήτω τέ μοι
Τέκν'· ὐ φιλεῖν δεῖ τὴν ἐμὴν ψυχήν· ἴτω.
Μάλιστα δ' Εὐρυσθεύς με βύλοιτ' ἂν, λαβὼν
Τὸν Ἡράκλειον σύμμαχον, καθυβρίσαι·
Σκαιὸς γὰρ ἀνήρ· τοῖς σοφοῖς δ' εὐκτὸν, σοφῷ

Ἔχθραν συνάπτειν, μὴ 'μαθεῖ φρονήματι.
Πολλῆς γὰρ αἰδοῦς, καὶ τύχης, τὶς ἂν τύχῃ;
Χ. Ὦ πρέσβυ, μὴ νῦν τήνδ' ἐπαιτιῶ πόλιν·
Τάχ' ἂν γὰρ ἡμῖν κέρδος, ἀλλ' ὅμως κακὸν
Γένοιτ' ὄνειδος, ὡς ξένους προύδώκαμεν.
Δ. Γενναῖα μὲν τάδ' εἶπας, ἀλλ' ἀμήχανα.
Οὐ σοῦ χατίζων, δεῦρ' ἄναξ στρατηλατεῖ.
Τί γὰρ γέροντος ἀνδρὸς Εὐρυσθεῖ πλέον
Θανόντος; ἀλλὰ τούσδε βούλεται κτανεῖν.
Δεινὸν γὰρ ἐχθροῖς βλαστάνοντες εὐγενεῖς
Νεανίαι τε, καὶ πατρὸς μεμνημένοι
Λύμας· ἃ κεῖνον πάντα προσκοπεῖν χρεών.
Ἀλλ', εἴ τιν' ἄλλην οἶσθα καιριωτέραν
Βουλὴν, ἑτοίμαζ', ὡς ἔγωγ' ἀμήχανος
Χρησμῶν ἀκούσας εἰμὶ, καὶ φόβου πλέως.
Μ. Ξένοι, θράσος μοι μηδὲν ἐξόδοις ἐμαῖς
Πρόσθητε· πρῶτον γὰρ τόδ' ἐξαιτήσομαι.
Γυναικὶ γὰρ σιγή τε, καὶ τὸ σωφρονεῖν,
Κάλλιστον, εἴσω δ' ἥσυχον μένειν δόμων.
Τῶν σῶν δ' ἀκούσασ', Ἰόλεως, στεναγμάτων,
Ἐξῆλθον, οὐ ταχθεῖσα πρεσβεύειν γένους.
Ἀλλ' εἰμὶ γάρ πως πρόσφορος· μέλει δέ μοι
Μάλιστ' ἀδελφῶν τῶνδε, κἀμαυτῆς πέρι

Gerant, non cum amentis imperito ſpiritu: multam
Enim clementiam etiam infelix quis conſequatur.
C. O ſenex, ne nunc civitatem culpa. Fortaſſe enim
Nobis *hoc quidem* prodeſſet: ſed tamen turpe
Probrum eſſet, quod hoſpites *ſupplices* prodidiſſemus
D. Generoſa quidem haec dixiſti; ſed quae fieri
Nequeunt. Non *enim* tui indigens rex hoc ducit
Exercitum: quid enim Euryſtheo lucri *accederet*, *te*
Homine ſene mortuo? ſed hos vult interficere.
Formidabilis enim *res eſt* hoſtibus, germinum-inſtar-
Surgentes generoſi, forteſque *filii*, et patris
Memores injuriae. Quae omnia illum oportet
Praevidere ſed ſi quod aliud opportunius noſti
Conſilium, *hoc* appara, quia ego conſilii inops
Oraculis auditus ſum et metu plenus.
M. Hoſpites, audaciam mihi nullam ob meum
Egreſſum, imputate: primum enim hoc deprecabor.
Mulieri enim ſilentium, et modeſtia,
Et manere quietam in aedibus, pulcherrimum *eſt*.
Tuos vero audiens, o Iolae, gemitus, egreſſa
Sum, non juſſa *quidem* legationem obire generis:
Sed tamen aliquo modo ſum idonea; curae enim
Mihi ſunt maxime fratres iſti, et de me ipſa

Volo audire, num ad priſtina mala
Accedens aliquod malum tuam mordeat mentem.
I. O filia, te praecipue, non tunc primum, liberos
Inter Herculeos jure laudare poſſum.
Cum vero nobis viſa eſſet domus bene proceſſiſſe,
Rurſus relapſa eſt in periculum inexplicabile.
Oraculorum enim vates hicce ait una voce,
Non taurum neque vitulum, ſed virginem
Mactare jubere, matre quae ſit nobili *orta*,
Si *velimus* nos, et hanc urbem eſſe ſalvam.
Hac igitur de re angimur. Neque enim filios ſuos,
Nec alius cujuſquam hic dicit ſe mactaturum.
Et mihi non aperte quidem *hoc* dicit: dicit tamen
Aliquo modo, niſi aliqua ratione ex difficultatibus
Iſtis nos explicemus, *Oportere* nos aliquam aliam
Terram invenire: Ipſe enim vult ſervare hanc
Regionem. M. An ob hanc cauſam ſervari
Prohibemur? I. Ob hanc; caeteris *in rebus* felices.
M.. Ne metuas nunc amplius inimicum Argivum
Exercitum: ego enim ipſa prius quam jubear, o
Senex, parata *ſum* mori, et caedem pati.
Quid enim dicemus, ſi civitas quidem velit
Propter nos magnum periculum ſuſcipere:

Θέλω πυθέσθαι, μὴ 'πὶ τοῖς πάλαι κακοῖς
Προσκείμενόν τι πῆμα σὴν δάκνει φρένα.
Ι. Ὦ παῖ, μάλιστά σ', οὐ νεωστὶ δὴ, τέκνων
Τῶν Ἡρακλείων ἐνδίκως αἰνεῖν ἔχω.
Ἡμῖν δὲ δόξας εὖ προχωρῆσαι, δόμος
Πάλιν μεθέστηκ' αὖθις εἰς ἀμήχανον.
Χρησμῶν γὰρ ᾠδοὺς φησὶ σημαίνειν ὅδε,
Οὐ ταῦρον, οὐδὲ μόσχον, ἀλλὰ παρθένον,
Σφάξαι κελεύειν, μητρὸς ἥτις εὐγενὴς,
Εἰ χρῆν μὲν ἡμᾶς, χρῆν δὲ τήνδ' εἶναι πόλιν.
Ταῦτ' οὖν ἀμηχανοῦμεν· οὔτε γὰρ τέκνα
Σφάζειν ὅδ' αὑτοῦ φησὶν, οὔτ' ἄλλου τινός.
Κἀμοὶ λέγει μὲν οὐ σαφῶς, λέγει δέ πως,
Εἰ μή τι τούτων ἐξαμηχανήσομεν,
Ἡμᾶς μὲν ἄλλην γαῖαν εὑρίσκειν τινὰ,
Αὐτὸς δὲ σῶσαι τήνδε βούλεται χθόνα.
Μ. Ἐν τῷδε κεὐχόμεσθα σωθῆναι λόγῳ;
Ι. Ἐν τῷδε, τἄλλα γ' εὐτυχῶς πετραγότες.
Μ. Μὴ νῦν τρέσῃς ἔτ' ἐχθρὸν Ἀργεῖον δόρυ·
Ἐγὼ γὰρ αὐτὴ, πρὶν κελευσθῆναι, γέρον,
Θνήσκειν ἑτοίμα, καὶ παρίστασθαι σφαγῇ·
Τί φήσομεν γὰρ, εἰ πόλις μὲν ἀξιοῖ
Κίνδυνον ἡμῶν οὕνεχ' αἱρεῖσθαι μέγαν,

Αὐτοὶ δὲ, προστιθέντες ἄλλοισιν πόνους,
Παρὸν σεσῶσθαι, φευξόμεσθα μὴ θανεῖν;
Οὐ δῆτ᾽, ἐπεί τοι καὶ γέλωτος ἄξια,
Στένειν μὲν ἱκέτας δαιμόνων καθημένους,
Πατρὸς δ᾽ ἐκείνου φῦντας, οὗ πεφύκαμεν,
Κακοὺς ὁρᾶσθαι· ποῦ τάδ᾽ ἐν χρηστοῖς πρέπει;
Κάλλιον οἶμαι τῆσδ᾽, ἃ μὴ τύχοι ποτὲ,
Πόλεως ἁλούσης, χεῖρας εἰς ἐχθρῶν πεσεῖν·
Κἄπειτα δέ τινα, πατρὸς οὖσαν εὐγενοῦς,
Παθοῦσαν, ᾅδην μηδὲν ἧσσον εἰσιδεῖν.
Ἀλλ᾽ ἐκπεσοῦσα τῆσδ᾽ ἀλητεύσω χθονός;
Κοὐκ αἰσχυνοῦμαι δῆτ᾽, ἐὰν δή τις λέγῃ·
Τί δεῦρ᾽ ἀφίκεσθ᾽ ἱκεσίοισι σὺν κλάδοις,
Αὐτοὶ φιλοψυχοῦντες; ἔξιτε χθονός·
Κακοὺς γὰρ ἡμεῖς οὐ προσωφελήσομεν.
Ἀλλ᾽ οὐδὲ μέντοι, τῶνδε μὲν τεθνηκότων,
Αὐτὴ δὲ σωθεῖσ᾽, ἐλπίδ᾽ εὖ πράξειν ἔχω·
Πολλοὶ γὰρ ἤδη τῇδε προὔδοσαν φίλους.
Τίς γὰρ κόρην ἔρημον, ἢ δάμαρτ᾽, ἔχειν,
Ἢ παιδοποιεῖν ἐξ ἐμοῦ βουλήσεται;
Οὐκοῦν θανεῖν ἄμεινον, ἢ τούτων τυχεῖν
Ἀναξίαν· ἄλλῃ δὲ καὶ πρέπει τινὶ
Μᾶλλον τάδ᾽, ἥτις μὴ ᾽πίσημος, ὡς ἐγώ.

Nos vero: qui labores aliis imponimus,
Cum penes nos ſit ſervari, fugiamus mortem?
Non ita: etenim valde ridiculum *eſſet, nos*
Gemere quidem ſupplices deorum ſedentes,
Natos vero *ex* illo patre, *ex* quo nati ſumus,
Ignavos videri: ubinam haec inter honeſta *ſunt?*
Pulchrius, ut opinor, erit, hac, quod utinam
Nunquam accidat, urbe capta, *nos* in hoſtium manus,
Venire: et poſtea patre nobili natam, dira
Perpeſſam, nihilominus intueri mortem.
Sed an ejecta ex hac terra vagabor?
Neque ergo pudore ſuffundar, ſi quis tunc dicat;
Quare huc veniſtis cum ſupplicibus ramis,
Ipſi vitae cupidi? diſcedite ex hac terra:
Ignavis enim nos opem non ferimus.
Sed tamen neque hi moriantur,
Ego vero ſerver, ſpem habeo me felicem fore:
Multi enim jam hac ratione prodiderunt amicos.
Quis enim deſertam puellam, aut conjugem habere,
Aut ex me ſuſcipere liberos volet?
Ergo melius *eſt* mori, quam incidere in talia
Me indignam: fortaſſis enim alteri convenirent
Haec magis, quae non eſſet nobilis, ut ego.

Ducite *me*, ubi oportet mori hoc corpus,
Et coronate ſertis *et* auſpicamini, ſi videatur:
Vincite vero hoſtes: nam haecce animi praeſto eſt
Volens et non invita: et polliceor
Me mori pro fratribus his et pro me ipſa.
Conſilium etenim hoc non vitae-cupida ego
Inveni pulcherrimum, ut gloriose vitam relinquam.
C. Papae, quid dicam, virginis fortem ſermonem
Audiens, quae vult mori pro fratribus?
Quis dicat generoſiores his ſermones,
Aut quiſnam hominum faciat?
I. O filia, non aliunde tuum caput *eſt natum*:
Sed mentis divinae ſemen ex illo
Hercule nata es. Neque pudeſio
Tuis verbis: at fortuna *tua* maereo.
Sed quomodo hoc fiat juſtius, dicam:
Oportet vocare huc omnes ſorores hujus: et
Deinde cui ſors obtigerit, moriatur pro *ſuo* genere:
Te autem non juſtum *eſt* ſine ſorte mori.
M. Nequaquam ego moriar fortuita ſortitione facta:
Beneficium enim non adeſt: ne dixeris *hoc*, o
Senex. Sed ſi quidem recipitis, et vultis me
Uti prompta, meam animam ego

Ἡγεῖσθ' ὅπου δεῖ σῶμα κατθανεῖν τόδε,
Καὶ στεμματοῦτε, καὶ κατάρχεσθ', εἰ δοκεῖ·
Νικᾶτε δ' ἐχθρούς· ἥδε γὰρ ψυχὴ πάρα
Ἑκοῦσα, κοὐκ ἄκουσα· κἀξαγγέλλομαι
Θνήσκειν ἀδελφῶν τῶνδε, κἀμαυτῆς ὕπερ.
Εὕρημα γάρ τοι μὴ φιλοψυχοῦσ' ἐγὼ
Κάλλιστον εὕρηκ', εὐκλεῶς λιπεῖν βίον.
Χ. Φεῦ, φεῦ· τί λέξω, παρθένου μέγαν λόγον
Κλύων, ἀδελφῶν ἢ πάρος θέλει θανεῖν;
Τούτων τίς ἂν λέξειε γενναίους λόγους
Μᾶλλον; τίς ἂν δράσειεν ἀνθρώπων ἔτι;
Ι. Ὦ τέκνον, οὐκ ἔτ' ἄλλοθεν τὸ σὸν κάρα,
Ἀλλ' ἐξ ἐκείνου σπέρμα τῆς θείας φρενὸς
Πέφυκας Ἡρακλῆος· οὐδ' αἰσχύνομαι
Τοῖς σοῖς λόγοισι, τῇ τύχῃ δ' ἀλγύνομαι.
Ἀλλ', ᾗ γένοιτ' ἂν ἐνδικωτέρως, φράσω.
Πάσας ἀδελφὰς τῆσδε δεῦρο χρὴ καλεῖν.
Κᾆθ' ἡ λαχοῦσα θνησκέτω γένους ὕπερ·
Σὲ δ' οὐ δίκαιον κατθανεῖν ἄνευ πάλου.
Μ. Οὐκ ἂν θάνοιμι τῇ τύχῃ λαχοῦσ' ἐγώ·
Χάρις γὰρ οὐ πρόσεστι· μὴ λέξῃς, γέρον.
Ἀλλ' εἰ μὲν ἐνδέχεσθε, καὶ βουλεσθέ μοι
Χρῆσθαι προθύμως, τὴν ἐμὴν ψυχὴν ἐγὼ

Δίδωμ' ἑκοῦσα τοῖσδ', ἀναγκασθεῖσα δ' οὔ.
Ι. Φεῦ·
Ὁ δ' αὖ λόγος σοὶ τοῦ πρὶν εὐγενέστερος·
Κἀκεῖνος ἦν ἄριστος, ἀλλ' ὑπερφέρεις
Τόλμῃ τε τόλμαν, καὶ λόγῳ χρηστῷ λόγον.
Οὐ μὴν κελεύω γ', οὐδ' ἀπεννέπω, τέκνον,
Θνήσκειν γ'· ἀδελφοὺς ὠφελεῖς θανοῦσα σούς.
Μ. Σοφῶς κελεύεις· μὴ τρέσῃς μιάσματος
Τοὐμοῦ μετασχεῖν, ἀλλ' ἐλευθέρως θάνω.
Ἕπου δὲ, πρέσβυ· σῇ γὰρ ἐνθανεῖν χερὶ
Θέλω· πέπλοις δὲ σῶμ' ἐμὸν κρύψον παρών·
Ἐπεὶ σφαγῆς γε πρὸς τὸ δεινὸν εἶμ' ἐγὼ,
Εἴπερ πέφυκα πατρὸς, οὗπερ εὔχομαι.
Ι. Οὐκ ἂν δυναίμην σῷ παρεστάναι μόρῳ.
Μ. Σὺ δ' ἀλλὰ τοῦδε χρῆζε, μή μ' ἐν ἀρσένων,
Ἀλλ' ἐν γυναικῶν χερσὶν ἐκπνεῦσαι βίον.
Ι. Ἔσται τάδ', ὦ τάλαινα παρθένων· ἐπεὶ
Κἀμοὶ τόδ' αἰσχρὸν, μή σε κοσμῆσαι καλῶς,
Πολλῶν ἕκατι, τῆς τε σῆς εὐψυχίας,
Καὶ τοῦ δικαίου· τλημονεστάτην δέ σε
Πασῶν γυναικῶν εἶδον ὀφθαλμοῖς ἐγώ.
Ἀλλ' εἴ τι βούλει τούσδε, τὸν γέροντά τε,
Χώρει, προσειποῦσ' ὕστατον πρόσφθεγμά μοι.

Do volens hiſce: coacta vero non *dabo.*

I. Papae!

Haec tua oratio adhuc generoſior *eſt* priore:

Et illa erat optima: ſed ſuperas

Audacia audaciam, et *bonam* orationem bona;

Non tamen jubeo, nec prohibeo, o filia,

Te mori, *ſed* moriens juvabis fratres tuos.

M. Sapienter jubes: ne metuas piaculi

Mei particeps fieri: ſed libere moriar.

Sequere vero, ſenex; in tuis enim manibus mori

Volo: praeſens vero veſtibus corpus meum tege:

Quia caedis ad ipſum formidabile vadam ego,

Siquidem nata ſum *ex illo* patre, *ex* quo glorior.

I. Non poſſem adeſſe tuae neci.

M. Tu vero hunc ſaltem rogato, ne ego in virorum

At in mulierum manibus efflem animam.

D. Ita fiet, o miſera virginum, quia

Mihi quoque hoc *eſſet* turpe, te non honeſte ornare,

Propter multa, et propter magnitudinem animi tui,

Et juſtitiam: fortiſſimam autem te

Omnium mulierum vidi oculis meis.

Sed ſi quid velis hoſce et ſenem,

Abito ultimo alloquio compellans.

M. O vale, ſenex; vale et doce mihi
Tales eſſe hos pueros, ſapientes prorſus,
Quemadmodum tu *es*. Nihil amplius; ſufficient enim.
Conare autem *eos* ſervare, mortis non cupidus
Exiſtens: tui liberi ſumus, tuis manibus nutriti ſumus
Vides enim et me, meam adoleſcentiam nubilem
Dantem pro hiſce morti devotam.
Vos vero, fratrum praeſens caetus,
Beati ſitis, et contingant vobis *omnia* ante quae,
Meum cor mactabitur.
Et ſenem *Iolaum*, anumque in aedibus *exiſtentem*,
Alcmenam, patris mei matrem, honoretis,
Et hos hoſpites. Quod ſi liberatio a malis,
Et *in patriam* reditus a diis unquam conceſſus vobis
Fuerit, recordemini, quomodo *me veſtram* ſervatricem
Sepelire deceat: Magnifice certe aequum *eſt*: non
Enim exiliter vobis adfui: ſed mortua ſum pro *meo*
Genere. Haec *autem* pro liberis erunt mihi monumenta,
Et pro *mea* virginitate: ſi quid et ſub terra eſt.
Nihil ominino ſit, oro. Si enim habituri ſumus et
Illic aerumnas, nos, qui morti debemur mortales,
Haud ſcio, quo quis ſe vertat. Mors enim
Malorum maximum remedium exiſtimatur.

Μ. Ὦ χαῖρε, πρέσβυ· χαῖρε, καὶ δίδασκέ μοι
Τοιούσδε τούσδε παῖδας· εἰς τὸ πᾶν σοφοὺς,
Ὥσπερ σύ· μηδὲν μᾶλλον· ἀρκέσουσι γάρ.
Πειρῶ δὲ σῶσαι, μὴ θανεῖν πρόθυμος ὤν.
Σοὶ παῖδές ἐσμεν· σαῖν χεροῖν τεθράμμεθα.
Ὁρᾷς δὲ κἀμὲ, τὴν ἐμὴν ὥραν γάμου
Διδοῦσαν ἀντὶ τῶνδε κατθανουμένην.
Ὑμεῖς τ', ἀδελφῶν ἡ παροῦσ' ὁμιλία,
Εὐδαιμονοῖτε, καὶ γένοιθ' ὑμῖν, ὅσων
Ἡ 'μὴ πάροιθεν καρδία σφαγήσεται.
Καὶ τὸν γέροντα, τήν τ' ἔσω γραῖαν δόμων,
Τιμῶτε πατρὸς μητέρ' Ἀλκμήνην ἐμοῦ,
Ξένους τε τούσδε· κἂν ἀπαλλαγὴ πόνων,
Καὶ νόϛος ὑμῖν εὑρεθῇ ποτ' ἐκ θεῶν,
Μέμνησθε, τὴν σώτειραν ὡς θάψαι χρεών.
Κάλλιϛά τοι δίκαιον· οὐ γὰρ ἐνδεὴς
Ὑμῖν παρέϛην, ἀλλὰ προὔθανον γένους.
Τάδ' ἀντὶ παίδων ἐϛί μοι κειμήλια,
Καὶ παρθενείας, εἴ τι δὴ κατὰ χθονός.
Εἴη γε μέντοι μηδέν· εἰ γὰρ ἕξομεν
Κἀκεῖ μερίμνας οἱ θανούμενοι βροτῶν,
Οὐκ οἶδ' ὅποι τις τρέψεται· τὸ γὰρ θανεῖν
Κακῶν μέγιϛον φάρμακον νομίζεται.

Ι. Ἀλλ', ὦ μέγιςον ἐκπρέπȣσ' εὐψυχίας,
Πασῶν γυναικῶν ἴϑι τιμιωτάτη,
Καὶ ζῶσ' ὑφ' ἡμῶν καὶ θανοῦσ' ἔσῃ πολύ.
Καὶ χαῖρε· δυσφημεῖν γὰρ ἅζομαι θεὰν,
Ἡ σὸν κατῆρκται σῶμα, Δήμητρος κόρην.
Ὦ παῖδες, οἰχόμεϑα, λύεται μέλη
Λύπῃ· λάβεϑε, κεἰς ἕδραν μ' ἐρείσατε,
Αὐτοῦ πέπλοισι τοῖσδε κρύψαντες, τέκνα.
Ὡς, οὔτε τȣ́τοις ἥδομαι πεπραγμένοις,
Χρησμοῦ τε μὴ κρανθέντος, ȣ̓ βιώσιμον.
Μείζων γὰρ ἄτη· συμφορὰ δὲ καὶ τάδε.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χ. Οὔ τινά φημι θεῶν ἄτερ ὄλβιον,
Οὐ βαρύποτμον ἄνδρα γενέϑαι,
Οὐδὲ τὸν αὐτὸν ἀεὶ βεβάναι δόμον
Εὐτυχίᾳ· παρὰ δ' ἄλλον γ' ἄλλα
Μοῖρα διώκει.
Τὸν μὲν ἀφ' ὑψηλῶν, βραχὺν ᾤκισεν,
Τὸν δ' ἀλήταν, εὐδαίμονα τεύχει.
Μόρσιμα δ' ȣ̓́τι φυγεῖν θέμις· ȣ̓ σοφί-
α τις ἀπώσεται.
Ἀλλὰ μάταν ὁ πρόθυμος ἀεὶ πόνον
Ἕξει γ'· ἀλλὰ σὺ

I. At, o maxime excellens *ob* animi magnitudinem,
Ominium mulierum, ſcias, honoratiſſima,
Et vivens et mortua inter nos eris longe.
Sed vale: vereor enim laedere verbis deam,
Cui jam tuum corpus conſecratum eſt, Cereris
Filiam. O filii, perimus: ſolvuntur membra
Dolore: prehendite et collocate me in ſedem,
Hac veſte hic tegentes, o filii: quoniam neque
His delector, quae facta ſunt, et *tamen* oraculo
Non perfecto, non potuiſſemus vivere;
Quia majus malum *accidiſſet*:
Tamen hoc *eſt* calamitoſum.

ANAPAESTI.

C. Neminem ſine diis dico beatum,
Neque miſerum hominem eſſe,
Neque eandem domum ſemper uti
Felicitate. Ad alium vero aliud
Fatum properat.
Tenuem quidem in excelſo conſtituit,
Opulentum vero facit mendicum. Fatalia vero
Nullo modo fugere licet: nulla Sapientia *fatum*
Repellet: ſed qui hoc conatur ſemper laborem
Habebit fruſtra. Quare tu

Deos vincere votis ne poſtules,
Neque dolore ſupra modum animum macera;
Glorioſam enim mortis ſortem habet
Haec miſera pro fratribus et *pro hac* terra;
Nec obſcura ipſam
Gloria ab hominibus excipiet.
Virtus enim per labores graſſatur:
Digna quidem patre,
Digna etiam haec nobilitate fiunt.
Si vero tu colis
Mortes bonorum, tecum facio.

IAMBI.

F. O pueri, ſalvete: ubinam vero ſenex Iolaus,
Et mater *Herculis* patris abeſt ab hac ſeſſione?
I. Adſumus, qualis qualis eſt mea praeſentia.
F. Quare jaces et habes obnuptam faciem?
I. Venit cura quaedam domeſtica, qua angebar.
F. Attolle nunc teipſum, erige caput.
I. Senes ſumus, nec ullis viribus valemus.
F. Venio tamen gaudium tibi magnum afferens.
I. Quiſnam es tu? ubi tecum verſatus *nunc* non
Recordor? F. *Sum* famulus Hylli: non noſti me
Videns? I. O chariſſime, venis igitur ſervator

Μὴ προσπίτνει τὰ θεῶν ὕπερ,
Μήδ' ὑπεραλγοῖ φροντίδα λύπα·
Εὐδόκιμον γὰρ ἔχει θανάτε μέρος
Ἁ μελέα πρό τ' ἀδελφῶν, καὶ γᾶς·
Οὐδ' ἀκλεής νιν
Δόξα πρὸς ἀνθρώπων ὑποδέξεται.
Ἁ δ' ἀρετὰ βαίνει διὰ μόχθων.
Ἄξια μὲν πατρὸς,
Ἄξια δ' εὐγενίας τάδε γίνεται.
Εἰ δὲ σέβεις σύ γε
Θανάτες ἀγαθῶν, μετέχω σοι.

ΙΑΜΒΟΙ.

Θ. Ὦ τέκνα, χαίρετ'· Ἰόλεως δὲ πῦ γέρων;
Μήτηρ δὲ πατρὸς τῆσδ' ἕδρας ἀποστατεῖ;
Ι. Πάρεσμεν, οἵα δή γ' ἐμοῦ παρυσία.
Θ. Τί χρῆμα κεῖσαι, καὶ κατηφὲς ὄμμ' ἔχεις;
Ι. Φροντίς τις ἦλθ' οἰκεῖος, ᾗ συνεχόμην.
Θ. Ἔπαιρε νῦν σεαυτὸν, ὄρθωσον κάρα.
Ι. Γέροντές ἐσμεν, κοὐδαμῶς ἐῤῥώμεθα.
Θ. Ἥκω γε μέν τοι χάρμα σοὶ φέρων μέγα.
Ι. Τίς δ' εἶ σύ; ποῦ σοι συντυχὼν ἀμνημονῶ;
Θ. Ὕλλε πενέστης· οὔ με γινώσκεις ὁρῶν;
Ι. Ὦ φίλταθ', ἥκεις ἆρα σωτὴρ νῷν βλάβης;

Θ. Μάλιςα· ϗ πρός γ' εὐτυχεῖς τὰ νῦν ἴαδε.
Ι. Ὦ μῆτερ ἐσθλοῦ παιδὸς, Ἀλκμήνην λέγω,
Ἔξελθ', ἄκȣσον τȣ́σδε φιλτάτȣς λόγȣς.
Πάλαι γὰρ ὠδίνȣσα τῶν ἀφιγμένων,
Ψυχὴν ἐτήκȣ, νόςος εἰ γενήσεται.
Α. Τί χρῆμ'; ἀϋτῆς πᾶν τόδ' ἐπλήσθη ςέγος.
Ἰόλαε, μῶν τις σ' αὖ βιάζεται παρὼν
Κῆρυξ ἀπ' Ἄργȣς; ἀσθενὴς μὲν ἥ γ' ἐμὴ
Ῥώμη· τοσόνδε δ' εἰδέναι σ' ἐχρῆν, ξένε.
Οὐκ ἔς' ἄγειν σε τȣ́σδ', ἐμοῦ ζώσης, ποτέ.
Ἦ τ' ἄρ' ἐκείνȣ μὴ νομιζοίμην ἐγὼ
Μήτηρ ἔτ'· εἰ δὲ τῶνδε προσθίξεις χερὶ,
Δυοῖν γερόντοιν ȣ̓ καλῶς ἀγωνιῇ.
Ι. Θάρσει γεραιὰ, μὴ τρέσῃς· ȣ̓κ Ἀργόθεν
Κῆρυξ ἀφῖκται, πολεμίȣς λόγȣς ἔχων.
Α. Τί γὰρ βοὴν ἔςησας, ἄγγελον φόβȣ;
Ι. Σὺ πρόσθε ναοῦ τȣ̃δ' ὅπως βαίης πέλας.
Α. Οὐκ ἴσμεν ἡμεῖς ταῦτα· τίς γάρ ἐσθ' ὅδε;
Ι. Ἥκοντα παῖδα παιδὸς ἀγγέλλει σέθεν.
Α. Ὦ χαῖρε καὶ σὺ τοῖσδε τοῖς ἀγγέλμασιν.
Ἀτὰρ τί; χώρᾳ τῇδε προσβαλὼν πόδα,
Ποῦ νῦν ἄπεςι; τίς νιν εἶργε συμφορὰ,
Σὺν σοὶ φανέντα δεῦρ' ἐμὴν τέρψαι φρένα;

Aerumnae noſtrae? F. Maxime: praeterea vero bonis
Rebus *nunc* uteris. I. O Mater fortis filii, Alcmenam
Dico, egredere, audi jucundiſſimos hos ſermones:
Jampridem enim graviter-dolens eorum qui nunc
Advenerunt, animo tabeſcebas, an reditus *huc* eſſet
Futurus. A. Quam *ob* rem totum hoc tectum
Repletum eſt *clamore?* Iolae, num aliquis iterum te
Invadit praeſens hic praeco ab Argis? infirmum
Quidem *eſt* hoc meum robur. Hoc tamen oportet
Te ſcire, o hoſpes, non licet tibi iſtos abducere, me
Vivente unquam. Profecto illius *Herculis* ne exiſtimer
Ego mater poſthac: ſi vero attigeris hos manu,
Non decore certabis cum duobus ſenibus.
I. Confide, anus, ne metuas; non *enim* Argis
Praeco venit afferens nuncium hoſtilem?
A. Cur igitur excitaſti clamorem, nuncium timoris?
I. Ut tu ante templum prope hunc venires.
A. Ob nihil magnum hunc clamorem edidiſti; quis
Enim eſt hic? I. Nunciat venire filium filii tui.
A. O ſalve et tu propter iſta nuncia.
At quid huic regioni pedem applicans?
Ubi nunc eſt? quae res eum detinet, quo
Minus tecum apparens meum oblectet animum?

F. Collocat exercitum et ordinat, cum quo venit.

A. Non amplius mihi hujus ſermonis ſcientia congruit.

I. Congruit, ſed noſtrum opus *eſt* interrogare haec.

F. Quid igitur vis cognoſcere ex illis quae geſta ſunt?

I. Quantas adducit copias ſociorum?

F. Multas; non poſſum enim alium numerum dicere.

I. Sciunt, ut arbitror, hoc duces Athenienſium.

F. Sciunt, et jam ſiniſtrum cornu occupat

I. Jam enim ordinatus eſt exercitus tanquam ad Pugnam? F. Quinetiam jam victimae procul ab Ordinibus ſunt abductae. I. Quam vero procul Abeſt Argivus exercitus? F. Ut videri poſſit dux Perſpicue. I. Quid faciens? an inſtruens aciem?

F. Conjectamus iſta: non enim audivimus.
Ibo autem: Dominos, quod ad me attinet, deſertos
Nolim cum hoſtibus pugnam conſerere.

I. Ego quoque tecum: eadem enim cogitamus,
Amicis praeſentes prodeſſe, quantum valemus.

F. Minime te decebat ſtultum verbum dicere.

I. Quin et acris pugnae cum amicis participem eſſe?

F. Non eſt tibi, o amice, robur quod olim fuit.

I. Quid: annon poſſem et ego per clypeum ferire.

F. Poſſes quidem: ſed fortaſſe prius ipſe caderes.

Θ. Στρατὸν καθίζει, τάσσεταί θ' ὃν ἦλθ' ἔχων.
Α. Τοῦδ' οὐκ ἔθ' ἡμῖν τοῦ λόγου μέτεστι δή;
Ι. Μέτεστιν· ἡμῶν δ' ἔργον ἱστορεῖν τάδε.
Θ. Τί δῆτα βούλει τῶν πεπραγμένων μαθεῖν;
Ι. Πόσον τι πλῆθος συμμάχων πάρεστ' ἔχων;
Θ. Πολλούς· ἀριθμὸν δ' ἄλλον οὐκ ἔχω φράσαι.
Ι. Ἴσασιν, οἶμαι, ταῦτ' Ἀθηναίων πρόμοι.
Θ. Ἴσασι· καὶ δὴ λαιὸν ἕστηκεν κέρας.
Ι. Ἤδη γὰρ ὡς ἐς ἔργον ὥπλισται στρατός.
Θ. Καὶ δὴ παρῆκται σφάγια τάξεων ἑκάς.
Ι. Πόσον τί δ' ἔστ' ἄπωθεν Ἀργεῖον δόρυ;
Θ. Ὥστ' ἐξορᾶσθαι τὸν στρατηγὸν ἐμφανῶς.
Ι. Τί δρῶντα; μῶν τάσσοντα πολεμίων στίχας;
Θ. Ἠκάζομεν ταῦτ'· οὐ γὰρ ἐξηκούομεν.
Ἀλλ' εἶμ'· ἐρήμους δεσπότας τοὐμὸν μέρος
Οὐκ ἂν θέλοιμι πολεμίοισι συμβαλεῖν.
Ι. Κἄγωγε σὺν σοί· ταῦτα γὰρ φροντίζομεν,
Φίλοις παρόντες, ὡς ἔοιγμεν, ὠφελεῖν.
Θ. Ἥκιστα πρὸς σοῦ· μῶρον ἦν εἰπεῖν ἔπος.
Ι. Καὶ μὴ μετασχεῖν γ' ἀλκίμου μάχης φίλοις;
Θ. Οὐκ ἔστ' ἐν ὄψει τραῦμα, μὴ τρώσης χερός.
Ι. Τί δ'; οὐ σθένοιμι κἂν ἐγὼ δι' ἀσπίδος;
Θ. Σθένοις ἄν, ἀλλὰ πρόσθεν αὐτὸς ἂν πέσοις.

IAMBI.

A. Curnam, tuae mentis non compos exiſtens, me
Relinquere deſertam cum iſtis meis pueris cogitas?
I. Virorum enim *eſt* pugna: tuum vero eſt curare
Pueros iſtos, A. Quid vero ſi moriaris tu, quomodo
Ego ſervabor? I. Filii Filiis erit curae, qui reliqui
Fuerint. A. Si vero, quod utinam ne contingat,
Adverſa fortuna utantur? I. Hi hoſpites non prodent
Te; ne metuas. A. Hoc tantum certe habeo
Fiduciae, aliud nihil. I. Et Jovi, ſcio, ſunt curae tui
Labores. A. Proh!
Jupiter male quidem a me non
Audiet; an vero juſtus ſit erga me, ipſe novit.
F. Armorum quidem hunc vides univerſum apparatum.
Sed non ſatis cito poteris tegere corpus hiſce,
Quia pugna prope *eſt*, et maxime Mars odit
Cunctantes: ſi vero metuis pondus armorum,
Nunc quidem vade nudus: in exercitu vero
Tegaris hoc ornatu: ego vero portabo eouſque.
I. Recte dixiſti: verum mihi prompta tenens
Arma portato: inſere vero manui haſtam,
Et laevum attolle cubitum, dirigens *meum* greſſum.
F. An igitur armatum *militem*, ut puerum, ducere

ΙΑΜΒΟΙ.

Α. Τί χρῆμα μέλλεις σῶν φρενῶν ὐκ ἔνδον ὤν,
Λιπεῖν μ' ἔρημον σὺς τέκνοισι ταῖς ἐμαῖς;
Ι. Ἀνδρῶν γὰρ ἀλκή· σοὶ δὲ χρὴ 'κείνων μέλειν.
Α. Τί δ' ἢν θάνῃς σὺ, πῶς ἐγὼ σωθήσομαι;
Ι. Παιδὸς μελήσει παισὶ ταῖς λελειμμένοις.
Α. Ἢν δ' οὖν, ὃ μὴ γένοιτο, χρήσωνται τύχῃ;
Ι. Οἵδ' ὐ προδώσυσίν σε, μὴ τρέσῃς, ξένοι.
Α. Τοσόνδε γάρ τοι θάρσος, ὐδὲν ἀλλ' ἔχω.
Ι. Καὶ Ζηνὶ τῶν σῶν, οἶδ' ἐγὼ, μέλει πόνων.
Α. Φεῦ·
Ζεὺς ἐξ ἐμοῦ μὲν ὐκ ἀκύσεται κακῶς·
Εἰ δ' ἐςὶν ὅσιος αὐτὸς οἶδεν εἰς ἐμέ.
Θ. Ὅπλων μὲν ἤδη τήνδ' ὁρᾷς παντευχίαν,
Φθάνοις δ' ἂν ὐκ ἐν τοῖσδε συγκρύπτων δέμας.
Ὡς ἐγγὺς ἀγὼν, καὶ μάλιςʼ Ἄρης ςυγεῖ
Μέλλοντας· εἰ δὲ τευχέων φοβῇ βάρος,
Νῦν μὲν πορεύυ γυμνὸς, ἐν δὲ τάξεσιν
Κόσμῳ πυκάζυ τῷδ' ἐγὼ δ' οἴσω τέως.
Ι. Καλῶς ἔλεξας· ἀλλ' ἐμοὶ πρόχειρ' ἔχων
Τεύχη, κόμιζε· χειρὶ δ' ἔνθες ὀξύην,
Λαιόν τ' ἔπαιρε πῆχυν, εὐθύνων πόδα.
Θ. Ἦ παιδαγωγεῖν γὰρ τὸν ὁπλίτην χρεών;

Ι. Ὄρνιθος οὕνεκ' ἀσφαλῶς πορευτέον.
Θ. Εἴθ' ἦσθα δυνατὸς δρᾶν, ὅσον πρόθυμος εἶ.
Ι. Ἔπειγε· λειφθεὶς, δεινὰ πείσομαι μάχης.
Θ. Σύ τοι βραδύνεις, κοὐκ ἐγὼ δοκῶ τι δρᾶν.
Ι. Οὐκοῦν ὁρᾷς μου κῶλον ὡς ἐπείγεται;
Θ. Ὁρῶ δοκοῦντα μᾶλλον, ἢ σπεύδοντά, σε.
Ι. Σὺ ταῦτα λέξεις, ἡνίκ' ἂν λεύσσῃς μ' ἐκεῖ.
Θ. Τί δρῶντα; βουλοίμην δ' ἂν εὐτυχοῦντά γε.
Ι. Δι' ἀσπίδος θένοντα πολεμίων τινά.
Θ. Ἤδη πόθ' ἥξομέν γε· τοῦτο γὰρ φόβος.
Ι. Φεῦ·
Εἴθ', ὦ βραχίων, οἷον ἡβήσαντά σε
Μεμνήμεθ' ἡμεῖς, ἡνίκα ξὺν Ἡρακλεῖ
Σπάρτην ἐπόρθεις, σύμμαχος γένοιό μοι
Τοιοῦτος, οἷος ἂν τροπὴν Εὐρυσθέως
Θείην· ἐπεί τοι καὶ κακὸς μένειν δόρυ.
Ἔστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
Εὐψυχίας δόκησις· οἰόμεσθα γὰρ
Τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι καλῶς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ Α'.

Χ. Γᾶ, καὶ παννύχιος σελάνα,
Καὶ λαμπρόταται θεοῦ

Decet? I. Propter omen incedendum eſt tuto.

F. Utinam ita validus eſſes facere, ut es cupidus.

I. Propera; ſi mature non pervenero ad pugnam.

F. Tu certe cunctaris, non ego, aliquid viſus agere.

I. Annon vides, quomodo feſtinet meus pes?

F. Video te magis videri, quam *re ipſa* properare.

I. Non eadem dices, cum illic me videbis. F. Quid

Facientem? optarem certe *te videre* feliciter agentem.

I. Vulnerantem aliquem ex hoſtibus per clypeum.

F. Si modo veniemus; hoc enim metus.

I. Proh!

Utinam, o *meum* brachium, quale te

Pubeſcens meminimus nos, quando cum Hercule

Spartam expugnaſti, ſocius ſis mihi

Talis! Solus *enim* Euryſtheum in fugam verterem?

Quia profecto ignavus *eſt* ad ſuſtinendam haſtam.

Hoc autem etiam in opulentia non recte ſe habet,

Fortitudinis opinio: putamus enim

Felicem omnia bene ſcire.

ANTISTROPHICA.

STROPHE I.

C. O Terra, o Luna per totam noctem lucens,

Et ſplendidiſſimum Dei

Mortales-illuſtrantis jubar,
Perferte mihi nuncium,
Vocemque ad coelum tollite,
Et ad ſedem regiam,
Et ad caeſiam Minervam,
Oportet me *pro* patrio ſolo,
Oportet pro aedibus,
Supplices *in agrum meum* quia recepi,
Periculum cano ſecare ferro.

ANTISTROPHE I.

Dirum quidem *eſt*, civitatem, ut Mycenas,
Fortunatam, et armorum
Robore valde celebrem,
Iram adverſus meam terram fovere.
Malum vero, o civitas, ſi hoſpites
Supplices dedamus,
Ob poſtulata urbis Argivae.
Jupiter *eſt* mihi belli ſocius, non metuo;
Jupiter mihi gratiam merito
Habet. Nunquam hoſtibus
Inferiores videbuntur, quoad hoc, Reges mei.

STROPHE 2.

Sed, o veneranda, ſolum enim

Φαεσίμβροτοι αὐγαὶ,
Ἀγγελίαν μοι ἐνέγκατε,
Ἰαχήσατε δ' οὐρανῷ,
Καὶ παρὰ θρόνον ἀρχέταν,
Γλαυκᾷ τ' ἐν Ἀθάνᾳ.
Μέλλω τὰς πατριώτιδος γᾶς,
Μέλλω περὶ τῶν δόμων,
Ἱκέτας ὑποδεχθεὶς,
Κίνδυνον πολιῷ τεμεῖν σιδάρῳ.

ΑΝΤΙΣΤΡΟΦΗ Α'.

Δεινὸν μὲν, πόλιν, ὡς Μυκήνας,
Εὐδαίμονα, καὶ δορὸς
Πολυαίνετον ἀλκᾷ
Μῆνιν ἐμᾷ χθονὶ κεύθειν.
Κακὸν δ', ὦ πόλις, εἰ ξένους
Ἱκτῆρας παραδώσομεν,
Καὶ λεύσιμον Ἄργος·
Ζεύς μοι ξύμμαχος, οὐ φοβοῦμαι.
Ζεύς μοι χάριν ἐνδίκως
Ἔχει· οὔ ποτε θνατῶν
Ἥσσονες ποτ' ἂν, εἶτ' ἐμοῦ φανοῦνται.

ΣΤΡΟΦΗ Β'.

Ἀλλ', ὦ πότνια, σὸν γὰρ οὖδας

Γᾶς σὸν, καὶ πόλις, ἇς σὺ μήτηρ,
Δέσποινά τε, καὶ φύλαξ,
Πόρευσον ἄλλᾳ τὸν ȣ̓ δικαίως
Τᾶδ' ἐπάγοντα δορύσσοντα
Στρατὸν Ἀργόθεν· ȣ̓ γὰρ ἐμᾷ γ' ἀρετᾷ
Δίκαιός εἰμ' ἐκπεσεῖν μελάθρων.

ΑΝΤΙΣΤΡΟΦΗ Β'.

Ἀλλ' ἐπί σοι πολύθυτος αἰεὶ
Τιμὰ κραίνεται, ȣ̓δὲ λήθει
Μηνῶν φθινὰς ἁμέρα,
Νέων τ' ἀοιδαὶ, χορῶν τε μολπαί.
Ἀνεμόεντι δέ γ' ἐπ' ὄχθῳ,
Ὀλολύγματα παννυχίοις ὕπο παρ-
θένων ἰαχεῖ ποδῶν κρότοισιν.

ΙΑΜΒΟΙ.

Θ. Δέσποινα, μύθȣς σοί τε συντομωτάτȣς
Κλύειν, ἐμοί τε τῷδε καλλίςȣς, φέρω.
Νικῶμεν ἐχθρȣ̀ς, καὶ τρόπαι' ἱδρύεται,
Παντευχίαν ἔχοντα πολεμίων σέθεν.
Α. Ὦ φίλταθ', ἥδε σ' ἡμέρα διήλασεν
Ἠλευθερῶσθαι τοῖσδε τοῖς ἀγγέλμασι.
Μιᾶς δέ μ' οὔπω συμφορᾶς ἐλευθεροῖς·
Φόβος γὰρ, εἴ μοι ζῶσιν, οὓς ἐγὼ θέλω.

Terrae *hujus* tuum *eſt*, et *haec* urbs, cujus tu mater
Et domina, et cuſtos,
Abige alio eum, qui non juſte
Huc adducit armatum
Exercitum ab Argis. Haud enim ob meam virtutem
Aequum eſt me expelli ex atriis meis.

ANTISTROPHE 2.

Enimvero tibi multorum ſacrificiorum ſemper
Honor conſtat, neque obliviſcitur
Menſium ultima dies,
Templorumque carmina, chororumque luſus.
Ventoſo autem in colle
Ululatus reſonant nocturnis plauſibus
Pedum virginum.

IAMBI.

F. O Domina, nuncios tibi breviſſimos
Auditu, et mihi huic pulcherrimos, fero.
Vincimus hoſtes, et collocantur trophaea,
Quae habent univerſa arma tuorum hoſtium.
A. O chariſſime, iſte dies egit te *huc*,
Uti liber fias propter hos nuncios.
Nondum tamen liberas me ab una quadam
Difficultate: metuo enim an mihi vivant, quos opto

Vivere. F. Vivunt maxime glorioſi in exercitu.
A. Senex ergo num adhuc ſuperſtes eſt, Iolaus hic
Noſter? F. Maxime, idque re pulcherrime geſta
Deorum favore. A. Quid vero eſt? num quod
Praeclarum *facinus* in praelio fecit? F. Factus eſt
Juvenis rurſus ex ſene. A. Mira dicis; ſed te
Proſperam amicorum pugnae dimicationem primum
Narrare volo. F. Una mea oratio omnia tibi
Significabit haec. Poſtquam enim alteri alteris
Armatum exercitum in fronte extendentes
Oppoſuimus, Hyllus quadrijugis ex curribus efferens
Pedem, conſtitit in medio ſpacio utriuſque exercitus
Inſtructi, et deinde dixit: o dux qui ab Argis
Venis in terram bellatorum parum fauſte,
Cur Mycenis nihil pulchri facies,
Si *eas* viris privaris? Quare mecum, ſolus cum ſolo
Pugna congreſſus, aut *me* caeſo, abduc capiens
Herculis filios; aut interfectus, mihi
Paternos honores et domos habere permitte.
Exercitus vero aſſenſit, et ad finem malorum, et pro
Magnitudine animi, praeclare dictam eſſe ſententiam.
Iſte vero neque reveritus eos, qui *haec* verba
Audierant, neque ipſe quamvis eſſet dux, ignaviam

Θ. Ζῶσιν· μέγιστον γ' εὐκλεεῖς κατὰ στρατόν.
Α. Ὁ μὲν γέρων οὐκ ἔστιν Ἰόλεως ὅδε;
Θ. Μάλιστα· πράξας δ' ἐκ θεῶν κάλλιστα δή.
Α. Τί δ' ἐστι; μῶν τι κεδνὸν ἠγωνίζετο;
Θ. Νέος μεθέστηκ' ἐκ γέροντος αὖθις αὖ.
Α. Θαυμάστ' ἔλεξας· ἀλλά σ' εὐτυχῆ φίλων
Μάχης ἀγῶνα πρῶτον ἀγγεῖλαι θέλω.
Θ. Εἷς μου λόγος σοι πάντα σημαίνει τάδε.
Ἐπεὶ γὰρ ἀλλήλοισιν ὁπλίτην στρατὸν
Κατὰ στόμ' ἐκτείνοντες ἀντετάξαμεν,
Ἐκβὰς τεθρίππων Ὕλλος ἁρμάτων πόδα
Ἔστη μέσοισιν ἐν μεταιχμίοις δορός.
Κἄπειτ' ἔλεξεν· ὦ στρατήγ', ὃς Ἀργόθεν
Ἥκεις ἐπὶ τήνδε γαῖαν, οὐκ εἴα σὰ μὲν,
Καὶ τὰς Μυκήνας οὐδὲν ἐργάσῃ κακὸν,
Ἀνδρὸς στερήσας· ἀλλ' ἐμοὶ μόνος μόνῳ
Μάχῃ συνάψας, ἢ κτανὼν, ἄγου λαβὼν
Τοὺς Ἡρακλείους παῖδας· ἢ θανὼν, ἐμοὶ
Τιμὰς πατρῴους, καὶ δόμους, ἔχειν ἄφες.
Στρατὸς δ' ἐπῄνεσ', εἴς τ' ἀπαλλαγὰς πόνων
Καλῶς λελέχθαι μῦθον, εἴς τ' εὐψυχίαν.
Ὁ δ' οὔτε τοὺς κλύοντας αἰδεσθεὶς λόγων,
Οὔτ' αὐτὸς αὑτοῦ δειλίαν, στρατηγὸς ὤν,

Ἐλθεῖν ἐτόλμησ᾽ ἐγγὺς ἀλκίμου δορός.
Ἀλλ᾽ ἦν κάκιστος· εἶτα, τοιοῦτος γεγὼς,
Τοὺς Ἡρακλείους ἦλθε δουλώσων γόνους.
Ὕλλος μὲν οὖν ἀπῴχετ᾽ εἰς τάξιν πάλιν.
Μάντεις δ᾽, ἐπειδὴ μονομάχου δι᾽ ἀσπίδος
Διαλλαγὰς ἔγνωσαν οὐ τελουμένας,
Ἔσφαζον, οὐκ ἔμελλον, ἀλλ᾽ ἀφίεσαν
Λαιμῶν βροτείων εὐθὺς οὔριον φόνον.
Οἱ δ᾽ ἅρματ᾽ εἰσέβαινον, οἱ δ᾽ ὑπ᾽ ἀσπίδων
Πλευραῖς ἔκρυπτον πλεύρ᾽· Ἀθηναίων δ᾽ ἄναξ
Στρατῷ παρήγγειλ᾽, οἷα χρὴ τὸν εὐγενῆ.
Ὦ ξυμπολῖται, τῇ τε βοσκούσῃ χθονὶ,
Καὶ τῇ τεκούσῃ, νῦν τιν᾽ ἀρκέσαι χρεών.
Ὁ δ᾽ αὖ, τό τ᾽ Ἄργος μὴ καταισχῦναι θέλων,
Καὶ τὰς Μυκήνας, συμμάχους ἐλίσσετο.
Ἐπεὶ δ᾽ ἐσήμην᾽ ὄρθιον Τυρσηνικῇ
Σάλπιγγι, καὶ συνῆψαν ἀλλήλοις μάχην,
Πόσον τίν᾽ αὐχεῖς πάταγον ἀσπίδων βρέμειν,
Πόσον τινὰ στεναγμὸν, οἰμωγήν θ᾽ ὁμοῦ;
Τὰ πρῶτα μὲν νῦν πίτυλος Ἀργείου δορὸς
Ἐῤῥήξαθ᾽ ἡμᾶς· εἶτ᾽ ἐχώρησαν πάλιν.
Τὸ δεύτερον δὲ, ποὺς ἐπαλλαχθεὶς ποδὶ,
Ἀνὴρ δ᾽ ἐπ᾽ ἀνδρὶ στὰς, ἐκαρτέρει μάχῃ.

Suam, auſus eſt ad fortis haſtae certamen propius
Venire: ſed erat ignaviſſimus: dein cum talis eſſet,
Venit in ſervitutem redacturus liberos Herculis.
Hyllus itaque diſceſſit iterum in *ſuam* aciem,
Vates vero, poſtquam ſingulari certamine
Pacem non fieri cognoverunt,
Mactabant, non cunctabantur, ſed emittebant
Ex faucibus humanis ſtatim fauſtam caedem.
Alii autem conſcendebant currus, alli ſub clypeorum
Lateribus *ſua* latera regebant. Athenienſium vero
Rex hortatus eſt exercitum, qualia oportet *virum*
Fortem; O cives, terrae quae *vos* alit, et quae
Genuit *vos*, opus eſt quemlibet *veſtrum* jam opem
Ferre. Similiter etiam alter Argos ne quis volens
Dedecoraret et Mycenas, precabatur ſocios.
Poſtquam autem ſignum clare datum eſt Tyrrhenica
Tuba, et inter ſe commiſerunt pugnam,
Quantum ſonitum clypeorum putas fremuiſſe?
Quantum gemitum et laetum clamorem ſimul?
Primum quidem impreſſio Argivi exercitus
Perrupit nos, deinde retroceſſerunt.
Poſtea vero collatus pes pedi,
Et vir adverſus virum ſtans, perſeverabat *in* pugna;

Multi autem cadebant: erant autem adhortationis
Haec verba: o qui Athenas, o qui Argivorum agros
Seritis, non depelletis ab urbe dedecus?
Vix autem omnia facientes, non ſine labore
Vertimus in fugam Argivum exercitum.
Tunc autem ſenex Hyllum extra *aciem* ruentem
Conſpicatus, porrecta dextra rogavit,
Iolaus, ut ſe imponeret in equeſtrem currum.
Cum autem manibus habenas cepiſſet, Euryſthei
In equos adegit. Quod autem poſtea *accidit*, *id*
Audiens ex alio dixerim, hactenus vero teſtis
Oculatus. Tranſiens enim venerandum pagum
Pallenidis divae Minervae, currum conſpicatus
Euryſthei, votum fecit Juventae, et Jovi, ut uno die
Rejuveneſceret, et ulciſci poſſet
Hoſtes: audire jam miraculum licet.
Duo enim Divi ſupra equeſtre jugum
Stantes, texerunt currum obſcura nube:
Sapientiores dicunt *fuiſſe* tuum filium,
Hebenque. Ille vero ex aetherea caligine juvenilium
Brachiorum juvenilem notam edidit.
Capit vero inclytus Iolaus Euryſthei
Quadrijugum currum ad ſaxa Scironia,

Πολλοὶ δ' ἔπιπτον· ἦν δὲ τοῦ κελεύσματος·
Ὦ τὰς Ἀθήνας, ὦ τὸν Ἀργείων γύην
Σπείροντες, οὐκ ἀρήξετ' αἰσχύνην πόλει;
Μόλις δὲ πάντα δρῶντες, οὐκ ἄτερ πόνων,
Ἐτρεψάμεσθ' Ἀργεῖον εἰς φυγὴν δόρυ.
Κἀνταῦθ' ὁ πρέσβυς, Ὕλλον ἐξορμώμενον
Ἰδὼν, ὀρέξας ἱκέτευσε δεξιὰν,
Ἰόλαος, ἐμβῆσαί νιν ἵππειον δίφρον.
Λαβὼν δὲ χερσὶν ἡνίας, Εὐρυσθέως
Πώλοις ἐπεῖχε· τἀπὸ τοῦδ' ἤδη κλύων
Λέγοιμ' ἂν ἄλλου, δεῦρο δ' αὐτὸς εἰσιδών.
Παλληνίδος γὰρ σεμνὸν ἐκπερῶν πάγον
Δίας Ἀθάνας, ἅρμ' ἰδὼν Εὐρυσθέως,
Ἡράσαθ' Ἥβῃ, Ζηνί θ', ἡμέραν μίαν
Νέος γενέσθαι, κἀποτίσασθαι δίκην
Ἐχθρούς· κλύειν δὴ θαύματος πάρεστί σοι.
Δισσὼ γὰρ ἀστέρ' ἱππικοῖς ὑπὸ ζυγοῖς
Σταθέντ', ἔκρυψαν ἅρμα λυγαίῳ νέφει.
Σὸν δὴ λέγουσι παῖδά γ' οἱ σοφώτεροι,
Ἥβην θ'· ὁ δ' ὄρφνης ἐκ δυσαιθρίου, νέων
Βραχιόνων ἔδειξεν ἡβητὴν τύπον.
Αἱρεῖ δ' ὁ κλεινὸς Ἰόλεως Εὐρυσθέως
Τέτρωρον ἅρμα πρὸ πέτραις Σχειρωνίσιν.

Δεσμοῖς τε δήσας χεῖρας, ἀκροθίνιον
Κάλλιστον ἥκει, τὸν στρατηλάτην ἄγων,
Τὸν ὄλβιον πάροιθεν· ἡ δὲ νῦν τύχη
Βροτοῖς ἅπασι λαμπρὰ κηρύσσει μαθεῖν,
Τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν, πρὶν ἂν
Θανόντ' ἴδῃ τις, ὡς ἐφήμεροι τύχαι.
Χ. Ὦ Ζεῦ τροπαῖε, νῦν ἐμοὶ δεινοῦ φόβου
Ἐλεύθερον πάρεστιν ἦμαρ εἰσιδεῖν.
Ὦ Ζεῦ, χρόνῳ μὲν τἄμ' ἐπεσκέψω κακά,
Χάριν δ' ὅμως σοι τῶν πεπραγμένων ἔχω,
Καὶ παῖδα τὸν ἐμὸν πρόσθεν οὐ δοκοῦσ' ἐγὼ
Θεοῖς ὁμιλεῖν, νῦν ἐπίσταμαι σαφῶς.
Ὦ τέκνα, νῦν δὴ νῦν ἐλεύθεροι πόνων,
Ἐλεύθεροι δὲ τοῦ κακῶς ὀλουμένου
Εὐρυσθέως ἔσεσθε, καὶ πόλιν πατρὸς
Ὄψεσθε, κλήρους δ' ἐμβατεύσετε χθονὸς,
Καὶ θεοῖς πατρῴοις θύσεθ'· ὧν ἀπειργμένοι
Ξένοι, πλανήτην εἴχετ' ἄθλιον βίον.
Ἀτὰρ τί κεύθων Ἰόλεως σοφόν ποτε,
Εὐρυσθέως ἐφείσαθ', ὥστε μὴ κτανεῖν,
Λέξον· παρ' ἡμῖν μὲν γὰρ οὐ σοφὸν τόδε,
Ἐχθροὺς λαβόντα, μὴ ἀποτίσασθαι δίκην.
Θ. Τὸ σὸν προτιμῶν, ὥς νιν ὀφθαλμοῖς ἴδοις

Et vinciens vinculis manus, ſpolium
Pulcherrimum, ipſum imperatorem, venit adducens,
Illum prius beatum: at praeſenti fortuna
Omnibus mortalibus clare edicit, ut diſcant,
Ne ducant beatum eum, qui videtur eſſe fortunatus,
Priuſquam viderit eum aliquis mortuum: quia fortuna
Habet quotidianas mutationes. C. O Jupiter
Trophaeorum autor, nunc mihi diro metu liberum
Diem licet intueri. A. O Jupiter, aſpexiſti ſero quidem
Mea mala: tamen habeo tibi gratiam pro iis quae
Evenerunt; et filium meum cum antea non putarem
Ego cum Diis verſari, nunc ſcio manifeſte.
O filii, jam profecto, nunc liberi a laboribus,
Liberi etiam ab illo, qui male peribit,
Euryſtheo eritis, et terram patris
Videbitis, et in poſſeſſionem ibitis agri haereditarii,
Et ſacrificabitis diis patriis, a quibus expulſi
Hoſpites agebatis vitam erroneam *ac* miſeram.
Sed quanam Iolaus occulta ſapientia
Pepercit Euryſtheo, ut *eum* non interficeret? dicito,
Apud nos enim hoc non videtur ſapienter
Factum, ſi quis ceperit hoſtem, non poenam *ab eo*
Exigere. F. Te honorans, *hoc fecit*, ut ipſum oculis

Videres afflictum, et tuae manus imperio ſubjectum,
Non ſane volentem ipſum: ſed per vim
Conſtrinxit eum neceſſitas. Etenim non volebat
Vivus in conſpectum tuum venire et dare poenas.
Quamobrem, o anus, gaude, et memineris mei,
Quod primum dixiſti, quando coepi ſermonem:
Pronuncia me liberum: nam in talibus *rebus* oportet
Ingenuorum os verax eſſe.

ANTISTROPHICA.

STROPHE I.

C. Mihi chorus quidem voluptatem aut
Dulcis gratia fiſtulae in convivio
Habet, et Venus gratioſa:
Jucundum vero quiddam *eſt*, etiam amicorum
Felicitatem videre,
Qui ante non excelſo loco erant;
Multa enim parit
Parca finis donatrix
Et Aeon Saturni filius.

ANTISTROPHE I.

Habes famam quandam, o civitas,
Juſtam. Nunquam oportet hoc amittere,
Deos colere. Qui vero aliter ſentit,

Κρατοῦντα, καὶ σῇ δεσποτούμενον χερὶ,
Οὐ μὴν ἑκόντα γ' αὐτὸν, ἀλλὰ πρὸς βίαν,
Ἔζευξ' ἀνάγκῃ· καὶ γὰρ οὐκ ἐβούλετο
Ζῶν εἰς σὸν ἐλθεῖν ὄμμα, καὶ δοῦναι δίκην.
Ἀλλ', ὦ γεραιὰ, χαῖρε, καὶ μέμνησό μου,
Ὃ πρῶτον εἶπας, ἡνίκ' ἠρχόμην λόγου.
Ἐλευθέρωσόν μ'· ἐν δὲ τοῖς τοιοῖσδε χρὴ
Ἀψευδὲς εἶναι τοῖσι γενναίοις στόμα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ Α'.

Χ. Ἐμοὶ χορὸς μὲν ἡδὺς, εἰ
Λίγεια λωτοῦ χάρις ἐνὶ δαί.
Εἴη δ' εὔχαρις Ἀφροδίτα.
Τερπνὸν δέ τι καὶ φίλων ἀ-
ρ' εὐτυχίαν ἰδέσθαι
Τῶν πάρος οὐ δοκούντων.
Πολλὰ γὰρ τίκτει
Μοῖρα τελεσσιδώτει-
ρ', αἰών τε Κρόνου παῖς.

ΑΝΤΙΣΤΡΟΦΗ Α'.

Ἔχεις ὁδόν τιν', ὦ πόλις,
Δίκαιον· οὐ χρή ποτε τόδ' ἀφελέσθαι,
Τιμᾶν θεούς· ὁ δὲ μὴ φάσκων,

Ἐγγὺς μανιῶν ἐλαύνει,
Δεικνυμένων ἐλέγχων
Τῶνδ᾽· ἐπίσημα γάρ τοι
Θεὸς παραγγέλλει,
Τῶν ἀδίκων παραιρῶν
Φρονήματος αἰεί.

ΣΤΡΟΦΗ Β.

Ἐςὶν ἐν ὐρανῷ βεβακὼς
Τεὸς γόνος, ὦ γεραιά,
Φεύγει λόγον, ὡς τὸν ἀΐδα
Δόμον κατέβα, πυρὸς
Δεινᾷ φλογὶ σῶμα δαϊχθείς,
Ἥβας τ᾽ ἐρατὸν χροΐζει
Λέχος χρυσέαν κατ᾽ αὐλάν.
Ὦ Ὑμέναιε, δισσὺς
Παῖδας Διὸς ἠξίωσας.

ΑΝΤΙΣΤΡΟΦΗ Β.

Συμφέρεται τὰ πολλὰ πολλοῖς.
Καὶ γὰρ πατρὶ τῶνδ᾽ Ἀθάναν
Λέγυσ᾽ ἐπίκυρον εἶναι.
Καὶ τύσδε θεᾶς πόλις,
Καὶ λαὸς, ἔσωσ᾽ ἐκείνας·
Ἔσχεν δ᾽ ὕβρεις ἀνδρὸς, ᾧ θυ-
μὸς ἦν πρὸ δίκας βιαίως·

Is ad inſaniam propius accedit;
Cum manifeſta ſint argumenta
Haec. Illuſtra enim certe
Deus hortamenta dat,
Injuſtorum reſecans
Superbiam perpetuo.

STROPHE 2.

Eſt in coelo degens
Tuus filius, o grandaeva,
Fugit famam, quod *in* Plutonis
Domum deſcenderit, ignis
Dira flamma corpore combuſtus,
Hebeſque amabilem contrectat
Lectum aurea in aula.
Ita, o Hymenaee, duos
Liberos Jovis honoraſti.

ANTISTROPHE 3.

Congruunt multa multis.
Etenim patri horum Palladem
Dicunt auxiliatricem fuiſſe:
Et hos illius Deae civitas
Et populus ſervavit:
Repreſſit autem inſolentiam hominis, cui furor
Juri praelatus erat violentus.

Nunquam *igitur* mihi ſpiritus
Animuſque ſit inſatiabilis!

IAMBI.

N. O Domina, vides quidem, ſed tamen dicetur;
Venimus adducentes tibi hunc Euryſtheum,
Inſperatum ſpectaculum, eique ipſi non minus
Inſperatum id conſequi: nunquam enim putavit ſe
Venturum in manus tuas, quando ex Mycenis
Praedivitibus cum clypeis veniebat, longe majora
Spirans, quam *ejus* fortuna ferret, expugnaturus
Athenas: ſed in contrarium deus *rem* vertit, et
Mutavit fortunam. Hyllus igitur et fortis Iolaus
Statuam Jovis victoris triumphalem ſtatuerunt.
Mihi vero mandarunt, ut hunc ad te adducerem,
Volentes delectare tuum animum. Nam dulciſſimum
Eſt hoſtem videre ex felici infelicem factum.
A. O odium venis? num prehendit te Juſtitia tandem?
Primum igitur huc ad me converte caput;
Et aude *coram* intueri tuos adverſarios
Hoſtes. Teneris enim nunc, neque *nos* tenes
Amplius. Tune es ille? volo enim ſcire,
Qui viventem, ubi ubi nunc eſt, meum ſaepe
Auſus es contumelia afficere, o veterator, filium?

Μή ποτ' ἐμοὶ φρόνημα,
Ψυχά τ' ἀκόρεστος εἴη.

ΙΑΜΒΟΙ.

ΑΓ. Δέσποιν', ὁρᾷς μὲν, ἀλλ' ὅμως εἰρήσεται,
Εὐρυσθέα σοι τόνδ' ἄγοντες ἥκομεν,
Ἄελπτον ὄψιν, τῷδε τ' οὐχ ἧσσον, τυχεῖν·
Οὐ γάρ ποτ' ηὔχει χεῖρας ἵξεσθαι σέθεν,
Ὅτ' ἐκ Μυκηνῶν πολυπόνων σὺν ἀσπίσιν
Ἔστειχε, μείζω τῆς τύχης φρονῶν πολὺ,
Πέρσων Ἀθήνας· ἀλλὰ τὴν ἐναντίαν
Δαίμων ἔθηκε, καὶ μετέστησεν τύχας.
Ὕλλος μὲν οὖν, ὅ, τ' ἐσθλὸς Ἰόλεως, βρέτας
Διὸς τροπαίου καλλίνικον ἔστασαν.
Ἐμοὶ δὲ πρὸς σὲ τόνδ' ἐπιστέλλουσ' ἄγειν,
Τέρψαι θέλοντες σὴν φρέν'· ἐκ γὰρ εὐτυχοῦς,
Ἥδιστον ἐχθρὸν ἄνδρα δυστυχοῦνθ' ὁρᾷν.
Α. Ὦ μῖσος ἥκεις; εἷλέ σ' ἡ δίκη χρόνῳ;
Πρῶτον μὲν οὖν μοι δεῦρ' ἐπίστρεψον κάρα,
Καὶ τλῆθι τοὺς σοὺς προσβλέπειν ἐναντίους
Ἐχθρούς· κρατῇ γὰρ νῦν γε, κοὐ κρατεῖς ἔτι.
Ἐκεῖνος εἶ σύ; βούλομαι γὰρ εἰδέναι·
Ὃς πολλὰ μὲν τὸν ὄντ', ὅπου 'στὶ νῦν, ἐμὸν
Παῖδ' ἠξίωσας, ὦ πανοῦργ', ἐφυβρίσαι;

Τί γὰρ σὺ κεῖνον οὐκ ἔτλης ἐφυβρίσαι;
Ὃς καὶ παρ' ᾅδην ζῶντά νιν κατήγαγες,
Ὕδρας, λέοντας τ', ἐξαπολλύναι λέγων
Ἔπεμπες; ἄλλα δ' οἷ' ἐμηχανῶ κακὰ,
Σιγῶ· μακρὸς γὰρ μῦθος ἂν γένοιτό μοι.
Κοὐκ ἤρκεσέν σοι ταῦτα τολμῆσαι μόνον·
Ἀλλ' ἐξ ἁπάσης κἀμὲ καὶ τέκν' Ἑλλάδος
Ἤλαυνες, ἱκέτας δαιμόνων καθημένους,
Τοὺς μὲν γέροντας, τοὺς δὲ νηπίους ἔτι.
Ἀλλ' εὗρες ἄνδρας, καὶ πόλισμ' ἐλεύθερον,
Οἵ σ' οὐκ ἔδεισαν· δεῖ σε κατθανεῖν κακῶς.
Καὶ κερδανεῖς ἅπαντα· χρὴ γὰρ οὐχ ἅπαξ
Θνήσκειν σὲ, πολλὰ πήματ' ἐξειργασμένον.
Χ. Οὐκ ἔστ' ἀνυστὸν τόνδε σοι κατακτανεῖν.
ΑΓ. Ἄλλως ἄρ' αὐτὸν αἰχμάλωτον εἵλομεν;
Εἴργει δὲ δὴ τίς τόνδε μὴ θανεῖν νόμος;
Χ. Τοῖς τῆσδε χώρας προστάταισιν οὐ δοκεῖ.
ΑΓ. Τί δὴ τόδ', ἐχθροὺς τοῖσι δ' οὐ καλὸν κτανεῖν;
Χ. Οὐχ ὅντιν' ἂν γε ζῶνθ' ἕλωσιν ἐν μάχῃ.
ΑΓ. Καὶ ταῦτα δόξαι θ' Ὕλλος ἐξηνέσχετο;
Χ. Χρῆν δ' αὐτὸν, οἶμαι, τῇδ' ἀπιστῆσαι χθονί.
ΑΓ. Χρῆν τόνδε μὴ ζῆν, μηδ' ὁρᾷν φάος ἔτι.
Χ. Τότ' ἠδικήθη πρῶτον, οὐ θανὼν ὅδε.

Qua in re enim non auſus es *eum* afficere contumelia?
Qui vivum miſiſti ipſum etiam ad inferos,
Et mandans ut perderet hydras et leones
Miſiſti; et alia mala, quae excogitaſti,
Taceo, eſſet enim mihi longa oratio.
Et tibi non ſatis fuit iſta ſolum audere,
Sed etiam ex omni Graecia me et liberos
Depuliſti, ſedentes ſupplices deorum,
Partim quidem ſenes, partim vero adhuc infantulos,
Sed inveniſti viros et civitatem liberam,
Qui te non metuerunt: oportet te miſere mori,
Et lucrifacies immenſa: oportet enim non ſemel
Mori te, qui multa ſcelera patraſti.
N. Non tibi illum interficere conceſſum eſt.
A. Fruſtra igitur eum captivum cepimus.
Quae vero lex prohibet illum interfici?
N. Non placet principibus hujus regionis.
A. Quidnam hoc rei eſt, an iſtis non honeſtum *eſt*
Interficere inimicos? N. Non quem viventem ceperunt
In praelio. A. Et haec decreta Hyllus probavit?
N. Decet, opinor, illum huic urbi immorigerum eſſe.
A. Imo tum non oportebat eum vivere neque lucem
Videre. N. Tum primum eſt injuſte factum, quod

Iſte in bello non eſt necatus. A. Haud igitur amplius
Honeſtum eſt *eum* dare poenas? N. Nemo eſt qui
Hunc interfecerit. A. Egomet; quanquam et me
Aliquam reputo. C. Magnam habebis reprehenſionem
Si haec feceris. A. Amo hanc civitatem; non eſt
Contradicendum: ſed hunc, poſtquam in manus
Venit meas, nemo mihi mortalium eripiet.
Quamobrem *me*, quiſquis voluerit, audacem et
Animo concipientem majora, quam decet foeminam,
Dicat: haec tamen res a me peragetur. C. Grave
Quoddam et venia dignum, o mulier, te habere
Odium adverſus hunc virum, cognoſco probe.
E. O mulier, certo ſcias me non adulaturum tibi eſſe,
Nec aliud quicquam pro mea vita dicturum,
Unde oporteat me ullius condemnari timiditatis.
Ego enim non volens contentionem hanc ſuſcepi;
Sum enim tibi quidem natus conſobrinus,
Herculi vero tuo filio cognatus.
Sed ſive volebam, ſive nolebam, dea enim erat,
Juno fecit ut ego hoc morbo laborarem.
Poſtquam autem cum illo ſuſcepi inimicitiam,
Et decrevi certare hoc certamen,
Fui excogitator multorum malorum,

ΑΓ. Οὐκοῦν ἔτ' ἐστιν ἐν καλῷ δοῦναι δίκην.
Χ. Οὐκ ἔστι, τοῦτον ὅστις ἂν κατακτάνοι.
Α. Ἔγω γε καὶ τί φημι κἂν μεῖναί τινα;
Χ. Πολλὴν ἄρ' ἕξεις μέμψιν, εἰ δράσεις τόδε.
Α. Φιλῶ πόλιν τήνδ'· οὐδὲν ἀντιλεκτέον.
Τοῦτον δ', ἐπείπερ χεῖρας ἦλθεν εἰς ἐμὰς,
Οὐκ ἔστι θνητῶν ὅστις ἐξαιρήσεται.
Πρὸς ταῦτα τὴν θρασεῖαν, ὅστις ἂν θέλοι,
Καὶ τὴν φρονοῦσαν μεῖζον, ἢ γυναῖκα χρὴ,
Λέξει· τὸ δ' ἔργον τοῦτ' ἐμοὶ πεπράξεται.
Χ. Δεινόν τι, καὶ συγγνωστὸν, ὦ γύναι, σ' ἔχειν
Νεῖκος πρὸς ἄνδρα τόνδε γινώσκω καλῶς.
Ε. Γύναι, σάφ' ἴσθι μή με θωπεύσοντά σε,
Μήδ' ἄλλο μηδὲν τῆς ἐμῆς ψυχῆς πέρι
Λέξονθ', ὅθεν χρὴ δειλίαν ὄφλειν τινά.
Ἐγὼ δὲ νεῖκος οὐκ ἑκὼν τόδ' ἠράμην,
Ἤδη γε σοὶ μὲν αὐτανέψιος γεγὼς,
Τῷ σῷ δὲ παιδὶ συγγενὴς Ἡρακλέϊ.
Ἀλλ' εἴτ' ἔχρηζον, εἴτε μὴ, θεὸς γὰρ ἦν,
Ἥρα με κάμνειν τήνδ' ἔθηκε τὴν νόσον.
Ἐπεὶ δ' ἐκείνῳ δυσμένειαν ἠράμην,
Κἄγνων ἀγῶνα τόνδ' ἀγωνιούμενος,
Πολλῶν σοφιστὴς πημάτων ἐγινόμην,

Καὶ πόλλ᾽ ἔτικτον νυκτὶ συνθακῶν ἀεὶ,
Ὅπως δηώσας, καὶ κατακτείνας ἐμοὺς
Ἐχθροὺς, τὸ λοιπὸν μὴ συνοικοίην φόβῳ·
Εἰδὼς μὲν ὐκ ἀριθμὸν, ἀλλ᾽ ἐτητύμως
Ἄνδρ᾽ ὄντα τὸν σὸν παῖδα· καὶ γὰρ, ἐχθρὸς ὢν,
Ἀκύσεται τὰ γ᾽ ἐσθλὰ, χρηστὸς ὢν ἀνήρ.
Κείνυ δ᾽ ἀπαλλαχθέντος, ὐκ ἐχρῆν μ᾽ ἄρα
Μισύμενον πρὸς τῶνδε, καὶ ξυνειδότα
Ἔχθραν πατρώαν, πάντα κινῆσαι πέτρον,
Κτείνοντα, κἀκβάλλοντα, καὶ τεχνώμενον;
Τοιαῦτα δρῶντι, τἀμὰ γίγνετ᾽ ἀσφαλῆ.
Οὔκυν σύ γ᾽, ἀναλαβῦσα τὰς ἐμὰς τύχας,
Ἐχθρῦ λέοντος δυσμενῆ βλαστήματα
Ἤλαυνες ἂν κακοῖσιν, ἀλλὰ σωφρόνως
Εἴασας οἰκεῖν Ἄργος; οὔ τιν᾽ ἂν πίθοις.
Νῦν οὖν, ἐπειδή μ᾽ ὐ διώλεσαν τότε
Πρόθυμον ὄντα, τοῖσιν Ἑλλήνων νόμοις,
Οὐχ᾽ ἁγνός εἰμι τῷ κτανόντι κατθανών.
Πόλις τ᾽ ἀφῆκε σωφρονῦσα, τὸν θεὸν
Μεῖζον τίυσα τῆς ἐμῆς ἔχθρας πολύ.
Πρὸς ἅ γ᾽ εἶπας, ἀντήκυσας· ἐντεῦθεν δὲ χρὴ
Τὸν προστρόπαιον, τόν τε γενναῖον, καλεῖν.
Οὕτω γε μέν τοι τἄμ᾽ ἔχει· θανεῖν μὲν οὐ

Et multa peperi noctu confidens perpetuo
Ut vexatis et interfectis meis inimicis,
Reliquum *tempus* cum metu non habitarem.
Sciens quidem non numerum, ſed vere
Virum eſſe tuum filium; quamvis enim inimicus
Fuerit, tamen a me praedicabitur, cum fuerit vir
Excellens. Iſto vero diſcedente, nonne oportebat me
Inviſum iſtis, et ſcientem
Inimicitiam paternam, omnem lapidem movere,
Interficiendo et ejiciendo, et *omnia* machinando?
Sic agenti, mea erant in tuo.
Tu vero, ſi meam fortunam uſurpaſſes, nequaquam
Infeſti leonis inviſos catulos
Exagitaſſes malis, at patienter
Siviſſes habitare Argos? *hoc* nemini perſuaſeris.
Nunc igitur, cum non interfecerint me tunc
Promptum mori exiſtentem, ex Graecorum more
Si *nunc* moriar, non ero purus illi, qui me interfecerit;
Civitas etiam *me* dimiſit, modeſte agens, Deum
Longe pluris faciens quam meas inimicitias. ad ea
Quae dixiſti, viciſſim audiviſti. Jam vero oportet
Jovem ſupplicum et certaminum Praeſidem invocare
Sic enim ſe meae *res* habent. Mori quidem nequaquam

Cupio, relicta tamen vita non dolebo.
C. Te parumper, o Alcmena, admonere volo,
Ut hunc virum dimittas, quando civitati *hoc* placet.
A. Quid ſi et *iſte* moriatur, et *nos* civitati pareamus
Simul? C. Id fuerit optimum: quomodo vero hoc
Fiet? A. Ego facile docebo: occiſo enim
Iſto, deinde cadaver amicis repetentibus
Dabo: Quod ad corpus enim non immorigera ero
Terrae: hic vero mortuus mihi poenas dabit.
E. Occide, non te deprecor, Hanc vero civitatem,
Quoniam me dimiſit, et reverita eſt interficere,
Donabo veteri Apollinis oraculo,
Quod olim plus, quam putet aliquis, proderit.
Me enim mortuum ſepelietis, ubi *eſt* fatale,
Ante templum Divae virginis Pallenidis:
Et tibi quidem benevolus et urbi ſalutaris
Inquilinus ſemper jacebo ſub terra.
Hornm vero *i. e. Heraclidarum* poſteris inimiciſſimus,
Quando venerint huc cum magno exercitu,
Prodentes hoc beneficium: tales hoſpites jam
Defenditis. Quomodo igitur haec ego perſuaſus,
Huc veni et oraculum non reveritus ſum?
Junonem cenſus longe potentiorem oraculis,

Χρήζων λιπὼν δ' ἂν οὐδὲν ἀχθοίμην βίον.
Χ. Παραινέσαι σοι μικρὸν, Ἀλκμήνη, θέλω,
Τὸν ἄνδρ' ἀφεῖναι τόνδ', ἐπεὶ πόλει δοκεῖ.
Α. Τί δ' ἂν θάνη τε, καὶ πόλει πειθώμεθα;
Χ. Τὰ λῷστ' ἂν εἴη· πῶς τάδ' οὖν γενήσεται;
Α. Ἐγὼ διδάξω ῥᾳδίως· κτανοῦσα γὰρ
Τόνδ', εἶτα νεκρὸν τοῖς μετελθοῦσιν φίλων
Δώσω· τὸ γὰρ σῶμ' οὐκ ἀπιστήσω χθονί·
Οὗτος δὲ δώσει τὴν δίκην θανὼν ἐμοί.
Ε. Κτεῖν', οὐ παραιτοῦμαί σε· τήνδε δὴ πόλιν,
Ἐπεί μ' ἀφῆκε, καὶ κατῃδέσθη κτανεῖν,
Χρησμῷ παλαιῷ Λοξίου δωρήσομαι,
Ὃς ὠφελήσει μεῖζον, ἢ δοκεῖν, χρόνῳ.
Θανόντα γάρ με θάψετ', οὗ τὸ μόρσιμον,
Δίας πάροιθε παρθένου Παλληνίδος.
Καί σοὶ μὲν εὔνους, καὶ πόλει σωτήριος,
Μέτοικος αἰεὶ κείσομαι κατὰ χθονός.
Τοῖς τῶνδε δ' ἐκγόνοισι πολεμιώτατος,
Ὅταν μόλωσι δεῦρο σὺν πολλῇ χερὶ,
Χάριν προδόντες τήνδε· τοιούτων ξένων
Προὔστητε· πῶς οὖν ταῦτ' ἐγὼ πεπυσμένος
Δεῦρ' ἦλθον, ἀλλ' οὐ χρησμὸν ἠρόμην θεοῦ;
Ἥραν νομίζων θεσφάτων μείζω πολὺ,

Κοὐκ ἂν προδοῦναί μ'· ἀλλὰ μήτε μοι χοὰς,
Μήθ' αἷμ' ἐάσῃς εἰς ἐμὸν στάξαι τόπον.
Κακὸν γὰρ αὐτοῖς νόστον ἀντὶ τῶνδ' ἐγὼ
Δώσω· διπλῶν δὲ κέρδος ἕξετ' ἐξ ἐμοῦ·
Ὑμᾶς τ' ὀνήσω, τούσδέ τε βλάψω θανών.
Α. Τί δῆτα μέλλετ', εἰ πόλει σωτηρίαν
Κατεργάσασθαι, τοῖσί τ' ἐξ ὑμῶν χρεὼν,
Κτείνειν τὸν ἄνδρα τόνδ', ἀκούοντες τάδε;
Δείκνυσι γὰρ κέλευθον ἀσφαλεστάτην.
Ἐχθρὸς μὲν ἀνὴρ, ὠφελεῖ δὲ κατθανών.
Κομίζετ' αὐτὸν, δμῶες· εἶτα χρὴ κυσὶν
Δοῦναι κτανόντας· μὴ γὰρ ἐλπίσῃς, ὅπως
Αὖθις πατρῴας ζῶν ἔμ' ἐκβαλεῖς χθονός.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χ. Ταῦτα δοκεῖ μοι, στείχετ', ὀπαδοί.
Τὰ γὰρ ἐξ ἡμῶν,
Καθαρῶς ἔσται βασιλεῦσιν.

ΤΕΛΟΣ

Et non proditurum me: ſed neque mihi inferias *fieri*
Neque permittas ſanguinem fluere in meum locum
Sepulturae. Infelicem enim ipſis reditum pro his ego
Dabo: duplexque lucrum habebitis ex me:
Urbemque juvabo, iſtoſque laedam mortuus.
A. Quid igitur cunctamini, ſi *huic* urbi ſalutem
Et poſteris veſtris elaborare oportet,
Interficere hunc hominem, haec audientes?
Oſtendit enim viam tutiſſimam.
Vir quidem *hic eſt* inimicus: juvabit tamen mortuus.
Abducite ipſum, famuli: deinde oportet canibus
Dare caeſum. Ne enim ſperes *fore*, ut
Rurſus patrio me ejicias ſolo.

ANAPAESTI.

C. Eadem mihi placent. Ite, famuli;
Quod enim ad nos attinet,
Regibus noſtris inculpatum erit.

FINIS.

Ὁ ΤΟΥ

ΕΥΡΙΠΙΔΟΥ

ἙΛΕΝΗ.

N 2

῾Ο ΤΟΥ

ΕΥΡΙΠΙΔΟΥ ῾ΕΛΕΝΗ.

Τὰ τȣ Δράματος

ΠΡΟΣΩΠΑ.

῾ΕΛΕΝΗ.

ΠΑΡΙΣ.

ΤΕΥΚΡΟΣ.

ΧΟΡΟΣ.

ΜΕΝΕΛΑΟΣ.

ΓΡΑΥΣ.

ΑΓΓΕΛΟΣ.

ΘΕΟΝΟΗ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ΔΙΟΣΚΟΥΡΟΙ.

Προλογίζει δὲ ἡ ῾Ελένη.

H E L E N A.

HELENA.

IAMBI.

NILI quidem haec *ſunt* formoſis *Nymphis* decora
Flumina, qui, pro caeleſti *roris* gutta, ſolum Aegypti,
Liquefacta candida nive, irrigat agros.
Proteus autem, quando vivebat, erat dominus hujus
Terrae, incolens quidem inſulam Pharum, rex vero
Aegypti: qui unam marinarum virginem uxorem
Duxit Pſamathen, poſtquam reliquit lectum Aeaci
Et procreavit duos liberos *in* his aedibus,
Theoclymenum marem, quia colens deos
Vitam egit, ut puellam liberali
Forma, delicias matris, quando erat infantulam,
A cognatis vocatam Idotheam ſemper.
Sed poſtquam ab pubertatem venit et ad aetatem
Nubilem, vocarunt ipſam Theonoen, quia divina
Cum praeſentia tum futura omnia ſciebat,
Accipiens a Nereo proavo hanc dotem.
Nobis vero patria quidem *eſt* non ignobilis

ἙΛΕΝΗ.

ἙΛΕΝΗ.

ΙΑΜΒΟΙ.

ΝΕΙΛΟΥ μὲν αἵδε καλλιπάρθενοι ῥοαὶ,
Ὃς, ἀντὶ δίας ψεκάδος, Αἰγύπτου πέδον,
Λευκῆς τακείσης χιόνος, ὑγραίνει γύας.
Πρωτεὺς δ᾽, ὅτ᾽ ἔζη, τῆσδε γῆς τύραννος ἦν,
Φάρον μὲν οἰκῶν νῆσον, Αἰγύπτου δ᾽ ἄναξ.
Ὃς τῶν κατ᾽ οἶδμα παρθένων μίαν γαμεῖ
Ψαμάθην, ἐπειδὴ λέκτρ᾽ ἀφῆκεν Αἰόλου.
Τίκτει δὲ τέκνα δισσὰ τοῖσδε δώμασιν,
Θεοκλύμενον ἄρσεν᾽, ὅτι δὴ θεοὺς σέβων
Βίον διήνεγκ᾽, εὐγενῆ τε παρθένον
Εἶδος, τὸ μητρὸς ἀγλάϊσμ᾽, ὅτ᾽ ἦν βρέφος.
Ἐπεὶ δ᾽ ἐς ἥβην ἦλθεν ὡραίων γάμων,
Καλοῦσιν αὐτὴν Θεονόην· τὰ θεῖα γὰρ
Τά τ᾽ ὄντα, καὶ μέλλοντα, πάντ᾽ ἠπίστατο,
Προγόνου λαβοῦσα Νηρέως τιμὰς πάρα.
Ἡμῖν δὲ, γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως· ἐστὶν δὲ δὴ

Λόγος τις, ὡς Ζεὺς μητέρ᾽ ἔπτατ᾽ εἰς ἐμὴν
Λήδαν, κύκνου μορφώματ᾽ ὄρνιθος λαβών.
Ὃς δόλιον εὐνὴν ἐξέπραξ᾽ ὑπ᾽ αἰετοῦ,
Δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος.
Ἑλένη δ᾽ ἐκλήθην· ἃ δὲ πεπόνθαμεν κακὰ,
Λέγοιμ᾽ ἄν· ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον εἰς κευθμῶν᾽ Ἀλέξανδρον πάρα,
Ἥρα, Κύπρις τε, διογενής τε παρθένος,
Μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
Τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχὲς,
Κύπρις προτείνασ᾽ ὡς Ἀλέξανδρος γαμεῖ,
Νικᾷ· λιπὼν δὲ βούσταθμ᾽, Ἰδαῖος Πάρις,
Σπάρτην ἀφίκεθ᾽, ὡς ἐμὸν σχήσων λέχος.
Ἥρα δὲ μεμφθεῖσ᾽, οὕνεκ᾽ οὐ νικᾷ θεὰς,
Ἐξηνέμωσε τἄμ᾽ Ἀλεξάνδρου λέχη.
Δίδωσι δ᾽ οὐκ ἔμ᾽, ἀλλ᾽ ὁμοιώσασ᾽ ἐμοὶ
Εἴδωλον ἔμπνουν, οὐρανοῦ ξυνθεῖσ᾽ ὕπο,
Πριάμου τυράννου παιδί· καὶ δοκεῖ μ᾽ ἔχειν,
Κενὴν δόκησιν, οὐκ ἔχων· τὰ δ᾽ αὖ Διὸς
Βουλεύματ᾽ ἄλλα τοῖσδε συμβαίνει κακοῖς.
Πόλεμον γὰρ εἰσήνεγκεν Ἑλλήνων χθονὶ,
Καὶ Φρυξὶ δυστήνοισιν, ὡς ὄχλου βροτῶν,
Πλήθους τε, κουφίσειε μητέρα χθόνα,

Sparta, pater vero Tyndareus: eſt autem fama
Quaedam, quod Jupiter volaverit in meam matrem
Ledam, aſſumpta forma cygni avis: qui effecit doloſum
Concubitum, ab aquila perſecutionem fugiens, ſi
Vera eſt iſta fama. Helena vero vocata ſum: quae vero
Mala perpeſſae ſimus, dicam. Venerunt tres deae
Propter famam in ſpecum Idaeum ad Alexandrum,
Juno, Venus, et virgo Jove-nata,
Volentes judicium de forma ſubire.
Meam vero formam, ſi formoſum eſt, quod infelix,
Venus proponens, quod Alexander eſſet *me* ducturus
Uxorem, vincit. Paris vero Idaeus relictis ſtabulis
Pecorum, Venit Spartam tanquam habiturus meum
Lectum. ſed Juno moleſte ferens, quod non viciſſet
Deas, irritum fecit meum conjugium Alexandro:
Dedit enim non me, ſed aſſimilatam mihi
Imaginem vivam, ex aethere componens,
Filio regis Priami: putavit autem ſe habere me,
Falſa opinione *deceptus*, cum non haberet. Jovis porro
Conſilia alia acceſſerunt ad haec mala.
Nam immiſit bellum in terram Graecorum,
Et in infelices Phryges, ut hominum turba,
Et multitudine, matrem Tellurem levaret,

Et clarum faceret optimum Graecorum. Phrygum
Autem in poteſtate poſita fui, non ego quidem,
Sed nomen meum, Graecis belli praemium.
Mercurius autem accipiens me in ſinibus aëris,
Tegens nube, non enim neglexit me
Jupiter, collocavit in hanc domum Protei
Judicans *eum* omnium hominum caſtiſſimum,
Ut ſervarem conjugium Menelao inviolatum.
Et ego quidem hic ſum : at infelix maritus
Congregato exercitu, meum raptum
Venatur, profectus *ad* arces Illii.
Multi vero vir propter me ad Scamandria
Fluenta occubuerunt. Ego vero quae omnia ſuſtinui,
Execranda ſum; et exiſtimor, prodito meo
Marito, conflaſſe bellum Graecis magnum. Cur
Igitur adhuc vivo? hunc ſermonem audivi ex Deo
Mercurio, me iterum habitaturam eſſe in terra
Spartae cum *meo* marito, poſtquam reſciverit, quod
Ad Trojam non venerim, ne forte ſubſternerem
Alicui meum corpus. Quandiu igitur hanc ſolis
Lucem aſpiciebat Proteus, nuptiis tuta eram : ſed
Poſtquam terrae tenebris occultatus eſt, defuncti
Filius venatur meas nuptias: ſed priſtinum meum

Γνωτόν τε θείη τὸν κράτιστον Ἑλλάδος.
Φρυγῶν δ' ἐς ἀλκὴν προὐθέμην· ἐγὼ μὲν οὔ,
Τὸ δ' ὄνομα τοὐμὸν, ἆθλον Ἕλλησιν δορός.
Λαβὼν δέ μ' Ἑρμῆς ἐν πτυχαῖσιν αἰθέρος,
Νεφέλῃ καλύψας, οὐ γὰρ ἠμέλησέ μου
Ζεὺς, τόνδ' ἐς οἶκον Πρωτέως ἱδρύσατο,
Πάντων προκρίνας σωφρονέστατον βροτῶν,
Ἀκέραιον ὡς σώσαιμι Μενέλεω λέχος.
Κἀγὼ μὲν ἐνθάδ' εἰμί· ὁ δ' ἄθλιος πόσις,
Στράτευμ' ἀθροίσας, τὰς ἐμὰς ἀναρπαγὰς
Θηρᾷ, πορευθεὶς Ἰλίου πυργώματα.
Ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
Ῥοαῖσιν ἔθανον· ἡ δὲ πάντα τλᾶσ' ἐγὼ
Κατάρατός εἰμι, καὶ δοκῶ, προδοῦσ' ἐμὸν
Πόσιν, συνάψαι πόλεμον Ἕλλησιν μέγαν.
Τί δῆτ' ἔτι ζῶ; θεοῦ τόδ' εἰσήκουσ' ἔπος
Ἑρμοῦ, τὸ κλεινὸν ἔτι κατοικήσειν πέδον
Σπάρτης σὺν ἀνδρὶ, γνόντος ὡς ἐς Ἴλιον
Οὐκ ἦλθον, ἵνα μὴ λέκτρ' ὑποστρώσω τινί.
Ἕως μὲν οὖν φῶς ἡλίου τόδ' ἔβλεπεν
Πρωτεὺς, ἄσυλος ἦν γάμων· ἐπεὶ δὲ γῆς
Σκότῳ κέκρυπται, παῖς ὁ τοῦ τεθνηκότος
Θηρᾷ γαμεῖν με· τὸν πάλαι δ' ἐμὸν πόσιν

Τιμῶσα, Πρωτέως μνῆμα προσπιτνῶ τόδε
Ἱκέτις, ἵν' ἀνδρὶ τἀμὰ διασώσῃ λέχη,
Ὡς, εἰ καθ' Ἑλλάδ' ὄνομα δυσκλεὲς φέρω,
Μή μοι τὸ σῶμα γ' ἐνθάδ' αἰσχύνην ὄφλῃ.
Τ. Τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος;
Πλούτου γὰρ οἶκος ἄξιος προσεικάσαι,
Βασίλειά τ' ἀμφιβλήματ', εὔθριγκοί θ' ἕδραι.
Ἔα·
Ὦ θεοὶ, τίν' εἶδον ὄψιν; ἐχθίστην ὁρῶ
Γυναικὸς εἰκὼ φόνιον, ἥ μ' ἀπώλεσεν,
Πάντας τ' Ἀχαιούς· θεοί σ', ὅσον μίμημ' ἔχεις
Ἑλένης, ἀποπτύσαιεν· εἰ δὲ μὴ 'ν ξένῃ
Γαίᾳ πότ' εἶχον, τῷδ' ἂν εὐστόχῳ πέτρῳ
Ἀπώλλυσ', ἵν' εἰκοῦς ἔθανες ἂν Διὸς κόρης.
Ε. Τί δ', ὦ ταλαίπωρ', ὅστις ὤν, μ' ἀπεστράφης,
Καὶ ταῖς ἐκείνης συμφοραῖς ἐμὲ στυγεῖς;
Τ. Ἥμαρτον· ὀργῇ δ' εἶξα μᾶλλον ἤ μ' ἐχρῆν·
Μισεῖ γὰρ Ἑλλὰς πᾶσα τὴν Διὸς κόρην.
Σύγγνωθι δ' ἡμῖν τοῖς λελεγμένοις, γύναι.
Ε. Τίς δ' εἶ; πόθεν γῆς τῆσδ' ἐπεστράφης πέδον;
Τ. Εἷς τῶν Ἀχαιῶν, ὦ γύναι, τῶν ἀθλίων.
Ε. Οὐκ ἆρά σ', Ἑλένην εἰ στυγεῖς, θαυμαστέον.
Ἀτὰρ τίς εἶ; πόθεν; τίνος; ἐξαυδᾶν σε χρή.

Maritum honorans, ad hoc Protei monumentum
Procido ſupplex, ut marito ſervet meum conjugium;
Ut ſi, per Graeciam infame nomen fero,
Ne corpus ſaltem hoc mihi dedecus hic ſuſtineat.
T. Quis habet imperium harum munitarum aedium?
Divitiis enim *haec* domus digna; anterius vero ſepta,
Regaleſque porticus, et pinnis conſpicuae ſedes.
Sed,
O dii, quam ſpeciem vidi? video inviſiſſimae
Mulieris formam lethalem, quae me perdidit,
Et omnes Graecos. Dii te, quantam habes
Similitudinem Helenae, abominentur: ſi vero non in
Peregrina terra eſſem, hoc ſaxo recte jacto
Praemium ſimilitudinis Helenae filiae Jovis moreris.
H. Quare vero, o miſer, quiſquis es, me ſic adverſaris,
Et me propter illius calamitatem odiſti?
T. Erravi; et ceſſi irae magis, quam me oportuit:
Tota enim Graecia odit filiam Jovis.
Ignoſce vero mihi, mulier, ob ea quae dixi.
H. Quiſnam es? unde veniſti in hujus terrae ſolum?
T. *Sum* unus ex miſeris Graecis, o mulier.
H. Non igitur mirandum *eſt*, ſi odiſti Helenam.
Verum quis es? unde? cujus? oportet te dicere.

T. Nomen quidem nobis *eſt*, Teucer. Qui vero *me*
Genuit pater, Telamon; patria vero Salamis, quae
Me nutrivit. H. Quid igitur Nili his in agris verſaris?
T. Exul pulſus ſum ex patria terra.
H. Miſer ſis oportet. Quis vero te ejecit patria?
T. Telamon qui *me* genuit: quem alium habeam
Amicum? H. Quam ob cauſam? Haec enim res
Habet calamitatem. T. Ajax frater *meus* perdidit me,
Mortuus ad Trojam. H. Quomodo? an tuo gladio
Privatus vita? T. Saltus in proprium gladium
Perdidit ipſum. H. Inſanientemne? nam quis faceret
Haec ſanus? T. Noviſtine quendam Achillem filium
Pelei? H. Aliquando venit procus Helenae, ut
Audimus. T. Is mortuus reliquit certamen ſociis *ſuis*
De armis. H. Quare vero hoc fuit malum Ajaci?
T. Cum alius potitus eſſet armis, ipſe de vita deceſſit.
H. Tu igitur ob illius mala laboras?
T. Propterea quod non una cum eo perii.
H. Veniſti igitur, o hoſpes, ad inclytam urbem Ilii?
T. Et quidem ſimul expugnans, viciſſim perii.
H. Jamne incenſa, et deleta eſt igni?
T. Ita, ut ne veſtigium quidem murorum appareat.

Τ. Ὄνομα μὲν ἡμῖν, Τεῦκρος· ὁ δὲ φύσας πάτηρ.
Τελαμών· Σαλαμὶς δὲ πατρὶς, ἡ θρέψασά με.
Ε. Τί δῆτα Νείλου τάσδ' ἐπιστρέφῃ γύας;
Τ. Φυγὰς πατρῴας ἐξελήλαμαι χθονός.
Ε. Τλήμων ἂν εἴης· τίς δέ σ' ἐκβάλλει πάτρας;
Τ. Τελαμὼν ὁ φύσας· τίν' ἂν ἔχοις μᾶλλον φίλον;
Ε. Ἐκ τοῦ; τὸ γάρ τοι πρᾶγμα συμφορὰν ἔχει.
Τ. Αἴας μ' ἀδελφὸς ὤλεσ', ἐν Τροίᾳ θανών.
Ε. Πῶς; οὔτι που σῷ φασγάνῳ βίον στερείς;
Τ. Οἰκεῖον αὐτὸν ὤλεσ' ἅλμ' ἐπὶ ξίφος.
Ε. Μανέντ'; ἐπεὶ τίς σωφρονῶν τλαίη τάδ' ἄν;
Τ. Τὸν Πηλέως τίν' οἶσθ' Ἀχιλλέα γόνον;
Ε. Μνηστήρ ποθ' Ἑλένης ἦλθεν, ὡς ἀκούομεν.
Τ. Θανὼν ὅδ' ὅπλων ἔριν ἔθηκε συμμάχοις.
Ε. Καὶ δὴ τί τοῦτ' Αἴαντι γίνεται κακόν;
Τ. Ἄλλου λαβόντος ὅπλ', ἀπαλλάχθη βίου.
Ε. Σὺ τοῖς ἐκείνου δῆτα πήμασιν νοσεῖς;
Τ. Ὅθ' οὕνεκ' αὐτῷ γ' οὐ ξυνωλόμην ὁμοῦ.
Ε. Ἦλθες γὰρ, ὦ ξέν', Ἰλίου κλεινὴν πόλιν;
Τ. Καὶ ξύν γε πέρσας, αὐτὸς ἀνταπωλόμην.
Ε. Ἤδη γὰρ ἦπται, καὶ κατείργασται πυρί;
Τ. Ὥστ' οὐδ' ἴχνος γε τειχέων εἶναι σαφές.

Ε. Ὦ τλῆμον Ἑλένη, διά σ' ἀπόλλυνται Φρύγες.
Τ. Καὶ πρός γ' Ἀχαιοί· μεγάλα δ' εἴργασται κακά.
Ε. Πόσον χρόνου γὰρ διαπεπόρθηται πόλις;
Τ. Ἑπτὰ σχεδόν τι καρπίμους ἐτῶν κύκλους.
Ε. Χρόνον δ' ἐμείνατ' ἄλλον ἐν Τροίᾳ πόσον;
Τ. Πολλὰς σελήνας, δέκα διελθούσας ἔτη.
Ε. Ἦ καὶ γυναῖκα Σπαρτιάτιν εἵλετε;
Τ. Μενέλαος αὐτὴν ἦγ' ἐπισπάσας κόμης.
Ε. Εἶδες σὺ τὴν δύστηνον, ἢ κλύων λέγεις;
Τ. Ὥσπερ σέ γ' οὐδὲν ἧσσον, ὀφθαλμοῖς ὁρῶ.
Ε. Σκοπεῖτε, μὴ δόκησιν εἴχετ' ἐκ θεῶν.
Τ. Ἄλλου λόγου μέμνησο, μὴ κείνης ἔτι.
Ε. Οὕτω δοκεῖτε τὴν δόκησιν ἀσφαλῆ;
Τ. Αὐτὸς γὰρ ὄσσοις εἰδόμην, καὶ νοῦς ὁρᾷ.
Ε. Ἤδη δ' ἐν οἴκοις σὺν δάμαρτι Μενέλεως;
Τ. Οὔκουν ἐν Ἄργει, οὐδ' ἐπ' Εὐρώτα ῥοαῖς.
Ε. Αἶ, αἶ· κακὸν τόδ' εἶπας, οἷς κακὸν λέγεις.
Τ. Ὡς κεῖνος ἀφανὴς σὺν δάμαρτι κλῄζεται.
Ε. Οὐ πᾶσι πορθμὸς αὐτὸς Ἀργείοισιν ἦν;
Τ. Ἦν· ἀλλὰ χειμὼν ἄλλοσ' ἄλλον ὤρισεν.
Ε. Ποίοισιν ἐν νώτοισι ποντίας ἁλός;
Τ. Μέσον περῶσι πέλαγος Αἰγαίου πόρου.

H. O miſera Helena, propter te pereunt Phryges!
T. Et praeterea Graeci: magna enim mala
edidit. H. Quantum vero
Tempus conſumptum eſt poſt expugnatam urbem?
T. Septem prepemodum frugiferi annorum orbes.
H. Quantum vero reliquum tempus in Troja
Manſiſtis? T. Multas lunas, decem annos
Percurrentes. H. An etiam mulierem Spartanam
Cepiſtis? T. Menelaus eam abduxit, retrahens coma.
H. Vidiſtine tu miſeram illam, an narras tantum
Audita? T. Sicut te jam meis oculis cerno, non
Minus. H. Videte ne habueritis falſam a diis
Oblatam opinionem. T. Alius rei mentionem fac, ne
Illius amplius *memineris*. H. Tam certam hanc
Opinionem exiſtimatis? T. Ipſe enim meis oculis
Vidi, et mens cernit. H. Eſtne Menelaus jam domi
Cum conjuge *ſua?* T. Neque in Argis *eſt*, neque
Ad fluenta Eurotae. H. Heu, heu, malum hoc
Dixiſti, quibus malum *hoc* dicis! T. Nimirum ille
Dicitur mortuus cum uxore ſua. H. Annon erat
Omnibus Graecis idem trajectus? T. Erat: ſed
Tempeſtas alio alium disjecit. H. Quibus in dorſis
Aequorei ſali? T. Trajicientibus medium pelagus.

Aegei maris. H. Et nemo novit Menelaum poſtea
Terram attigiſſe ? T. Nemo : fama enim eſt eum
Mortuum eſſe per Graeciam. A. Perii : ſupereſtne
Theſtias puella ? T. Ledam dicis : morte jam periit.
H. Num eam perdidit mala fama Helenae ?
T. Aiunt : laqueo generoſum collum conſtrictam.
H. Utrum vero vivunt filii Tyndarei, an non ?
T. Mortui ſunt, et non ſunt mortui: duplex enim eſt
Fama. H. Utra eſt potior ? o me miſeram *propter*
Haec mala ? T. Dicunt eos aſſimilatos aſtris eſſe
Deos. H. Recte dixiſti hoc, quae vero *eſt* altera
Fama ? T. Ob ſororem ſuicidio efflaſſe animam.
Sed ſatis ſermonum eſt; non volo dupliciter gemere.
Sed quorum cauſa veni in hanc regiam domum,
Fatidicam Theonoen cupiens videre,
Adjuva me, ut vaticinia audiam
Quo velum navis proſpere dirigam
In terram marinam, Cyprum, ubi me vaticinatus eſt
Apollo habitaturum, nomen inſulare
Salaminis imponentem *urbi*, antiquae patriae cauſa.
H. Ipſa navigatio, o hoſpes, oſtendet. Tu vero
Relicta hac terra fuge, priuſquam te filius Protei
Videat, qui dominus eſt hujus terrae : abeſt enim

Ε. Κἀκ τοῦδε Μενέλεων οὔτις οἶδ' ἀφιγμένον;
Τ. Οὐδείς· θανὼν δὲ κλῄζεται καθ' Ἑλλάδα.
Ε. Ἀπωλόμεσθα· Θεστιὰς δ' ἐςὶν κόρη;
Τ. Λήδαν ἔλεξας; οἴχεται θανοῦσα δή.
Ε. Οὔπω νιν Ἑλένης αἰσχρὸν ὤλεσε κλέος;
Τ. Φασὶ, βρόχῳ γ' ἅψασαν εὐγενῆ δέρην.
Ε. Οἱ Τυνδάρειοι δ' εἰσὶν, ἢ οὐκ εἰσὶν, κόροι;
Τ. Τεθνᾶσι, κοὐ τεθνᾶσι· δύο δ' ἐςὸν λόγοι.
Ε. Πότερος ὁ κρείσσων; ὢ τάλαιν' ἐγὼ κακῶν.
Τ. Ἄςροις σφ' ὁμοιωθέντε, φάσ' εἶναι θεώ.
Ε. Καλῶς ἔλεξας τοῦτο· θάτερον δὲ τί;
Τ. Σφαγαῖς ἀδελφῆς οὕνεκ' ἐκπνεῦσαι βίον.
Ἅλις δὲ μύθων· οὐ διπλᾶ χρῄζω ςένειν.
Ὧν δ' οὕνεκ' ἦλθον τούσδε βασιλείους δόμους,
Τὴν θεσπιῳδὸν Θεονόην χρῄζων ἰδεῖν,
Συμπροξένησον, ὡς τύχω μαντευμάτων,
Ὅπῃ νεὼς ςείλαιμ' ἂν οὔριον πτερὸν
Εἰς γῆν ἐναλίαν Κύπρον, οὗ μ' ἐξέσπισεν
Οἰκεῖν Ἀπόλλων, ὄνομα νησιωτικὸν,
Σαλαμῖνα θέμενον, τῆς ἐκεῖ χάριν πάτρας.
Ε. Πλοῦς, ὦ ξέν', αὐτὸς σημανεῖ· σὺ δ', ἐκλιπὼν
Γῆν τήνδε, φεῦγε, πρίν σε παῖδα Πρωτέως
Ἰδεῖν, ὃς ἄρχει τῆσδε γῆς· ἄπεςι δὲ,

Κυσὶν πεποιθὼς ἐν φοναῖς θηροκτόνοις·
Κτείνει γὰρ Ἕλλην᾽ ὅντιν᾽ ἂν λάβῃ ξένον.
Ὅτυ δ᾽ ἕκατι, μήτε σὺ ζήτει μαθεῖν,
Ἐγώ τε σιγῶ· τί γὰρ ἂν ὠφελοῖμί σε;
Τ. Καλῶς ἔλεξας, ὦ γύναι· θεοὶ δέ σοι
Ἐσθλῶν ἀμοιβὰς ἀντιδωρησαίατο.
Ἑλένῃ δ᾽ ὅμοιον σῶμ᾽ ἔχυσ᾽, ὐ τὰς φρένας
Ἔχεις ὁμοίας, ἀλλὰ διαφόρυς πολύ.
Κακῶς δ᾽ ὄλοιτο, μήδ᾽ ἐπ᾽ Εὐρώτα ῥοὰς
Ἔλθοι· σὺ δ᾽ εἴης εὐτυχὴς ἀεὶ, γύναι.
Ε. Ὦ μεγάλων ἀχέων καταβαλλομένα μέ-
γαν οἶκτον,
Ποῖον ἁμιλλαθῶ γόον; ἢ τίνα μοῦσαν ἐπέλθω,
Δάκρυσιν, ἢ θρήνοις, ἢ πένθεσιν; ἒ, ἔ.

ΕΠΩΔΙΚΑ.

ΣΤΡΟΦΗ Α΄.

Πτεροφόροι νεάνιδες,
Παρθένοι, χθονὸς κόραι,
Σειρῆνες, εἴθ᾽ ἐμοῖς γόοις
Μόλοιτ᾽, ἔχυσαι τὸν Λίβυν
Λωτὸν, ἢ σύριγγας αἰλίνοις κακοῖς
Τοῖς ἐμοῖσι, σύνοχα δάκρυα,
Πάθεσι πάθεα, μέλεσι μέλεα·

Jam confidens canibus in caede feras-mactante.
Occidit enim quemcunque ex Graecis hoſpitem
Ceperit. Qua vero de cauſa, neque tu ſtudeas
Cognoſcere, et ego taceo: quid enim te juverim
Dicens? T. Recte dixiſti, o mulier. Dii vero tibi
Reddant gratiam pro tuis beneficiis: cum autem
Habeas corpus ſimile Helenae, haud animum
Habes ſimilem, ſed valde diſſimilem. Male vero
Pereat *Helena*, neque ad fluenta Eurotae veniat:
Tibi vero, o mulier, ſemper bene ſit.
H. O ego, mutans magnam aegritudinem magno
dolore,
Qualem luctum navabo? quam muſam ſectabor,
Lacrymis, aut naeniis aut moerore? heu, heu!

EPODICA.

STROPHE I.

Alatae puellae,
Virgines, Telluris filiae,
Sirenes, utinam meis luctibus
Veniatis, habentes Lybicam
Fiſtulam, aut calamos, ut deplorandis malis
Meis, continuas lacrymas,
Dolores doloribus, carmina carminibus,

In lucos tuos lamentationibus conſonos
Mittat, o Proſerpina,
Funeſta, funeſta elegantias,
Ut cum lacrymis a me
Sub tenebricoſam aulam hy-
mnos accipiat mortuus.

ANTISTROPHE I.

C. Ad aquam caeruleam
Caſu fui et per teneram herbam
Purpureas tunicas Solis
In aureo fulgore
Calefaciens, et circum in arundinetis;
Unde miſerabiliter reſonuit, ubi
Audivi ſtrepitum, naeniam abſonam,
Quicquid demum dixit lamentis gemens,
Nympha quaedam, ceu Nais,
Maritum montivagum, e-
dens quicquid triſte; ſubtus vero
Saxeae infimae cavernae
Panis conjugi reſonant.

STROPHE 2.

H. Io, Io! o praeda barbaricae navis,
Puellae Graecae,

Μȣσεῖά τε, θρηνήμασι ξυνῳδὰ,
Πέμψειε Φερσέφασσα,
Φόνια, φόνια, χάριτας·
Ἵν' ἐπὶ δάκρυσι, παρ' ἐμὲ
Θ' ὑπὸ μέλαθρα νύχια παι-
ᾶνας νέκυσιν ὀλομένοις λάϐῃ.

ΑΝΤΙΣΤΡΟΦΗ Α'.

Χ. Κυανοειδὲς ἀμφ' ὕδωρ
Ἔτυχον, ἕλικά τ' ἀνὰ χλόαν
Φοίνικας ἁλίȣ πέπλους
Αὐγαῖσιν ἐν ταῖς χρυσέαις
Θάλπȣσ', ἀμφί τ' ἐν δόνακος ἕρνεσιν·
Ἔνθεν οἰκτρὸν ἀνεϐόασεν·
Ὅμαδον ἔκλυον ἄλυρον, ἔλεγον,
Ὅτί ποτ' ἔλακεν αἰάγμασι ϛένȣσα,
Νύμφα τις οἷα Ναῒς,
Ὄρεσι φυγάδα γάμον ἱ-
εῖσα γοερόν· ὑπὸ δὲ
Πέτρινα μύχατα γύαλα
Πανὸς ἀναϐοᾷ γάμȣς.

ΣΤΡΟΦΗ Γ'.

Ε. Ἰὼ, ἰώ· θήραμα βαρϐάρȣ πλάτας,
Ἑλλανίδες κόραι,

Ναύτας Ἀχαιῶν
Τίς ἔμολεν, ἔμολεν,
Δάκρυα δάκρυσί μοι φέρων,
Ἰλίου κατασκαφάν,
Πυρὶ μέλουσαν Ἰδαίῳ,
Δι' ἐμὲ τὰν πολύκτονον,
Δι' ἐμὸν ὄνομα πολύπονον.
Λήδα δ' ἐν ἀγχόναις
Θάνατον ἔλαβεν αἰσχύ-
νας ἐμᾶς ὑπ' ἀλγέων.
Ὁ δ' ἐμὸς ἐν ἁλὶ πολυπλανὴς
Πόσις ὀλόμενος οἴχεται.
Κάστορός τε συγγόνου τε
Διδυμογενὲς ἄγαλμα πατρίδος,
Ἀφανὲς, ἀφανὲς
Ἱππόκροτα λέλοιπε δάπεδα,
Γυμνάσιά τε δονακόεντος
Εὐρώτα, νεανίαν πόνον.

ΑΝΤΙΣΤΡΟΦΗ Β'.

Χ. Αἶ, αἶ, αἶ, αἴ· ὦ δαίμονος πολυστόνου,
Μοίρας τε σᾶς, γύναι.
Αἰὼν δυσαίων
Τίς ἔλαχεν, ἔλαχεν,

Nauta ex Graecis
Quiſpiam venit, venit,
Lacrymas ſuper lacrymas mihi ferens,
Ilii everſionem,
Igni hoſtili procuratam
Propter me, propter-quam-multi-interfecti-ſunt,
Propter meum infelix nomen.
Leda vero laqueis
Mortem oppetiit
Ob dolorem dedecoris noſtri.
Meus vero in mari multum vulgatus
Maritus perditus obiit.
Caſtoriſque fratiſque
Geminum patriae decus,
Evanidum, evanidum,
Equis-pulſata reliquit ſola,
Gymnaſiaque arundinoſi
Eurotae, juvenilem laborem.

ANTISTROPHE 2.

C. Heu, heu, heu, heu! o fortunam multorum-
Gemituum-autorem, et fatum tuum, o mulier.
Infelix vita
Quaedam *tibi* contigit, contigit,

Quando genuit te ex matre
Jupiter per aetherem conſpicuus,
Candida-nivis-inſtar ala cygni.
Quod enim malum a te abeſt?
Quam vero vitam non ſuſtinuiſti!
Mater enim periit,
Et gemini Jovis non fe-
lices-ſunt filii chari:
Solumque patrium non vides.
Per urbes vero vadit
Fama, quae te barbaro
Connubio, o veneranda, tribuit.
Tuus vero *maritus* in mari
Fluctibuſque reliquit vitam.
Nunquam amplius patriam regiam,
Et Chalciaecum beabis.

EPODUS.

H. Heu, heu, quis fuit Phrygum?
Aut quis a terra Graecorum
Secuit deplorandam
Ilio pinum? Unde, perdita
Navi constructa,
Filius-Priami

Ὅτε σε τέκετο ματρόθεν
Ζεὺς, πρέπων δι' αἰθέρος,
Χιονόχρως κύκνȣ πτερῷ.
Τί γὰρ ἄπεςί σοι κακῶν;
Τίνα δὲ βίοτον ȣ̓κ ἔτλας;
Μάτηρ μὲν οἴχεται,
Δίδυμά τε Διὸς ȣ̓κ εὐ-
δαιμονεῖ τέκεα φίλα·
Χθόνα δὲ πάτριον ȣ̓χ ὁρᾷς·
Διὰ δὲ πολέας ἔρχεται
Βάξις, ἅ σε βαρβάροισι
Λέχεσι, πότνια, παραδίδωσιν.
Ὁ δὲ σὸς ἐν ἁλὶ,
Κύμασί τε, λέλοιπεν βίοτον,
Οὐδέ ποτ' ἔτι πάτρια μέλαθρα,
Καὶ χαλκίοικον ὀλβιεῖς.

ΕΠΩΔΟΣ.

Ε. Φεῦ, φεῦ· τίς ἦν Φρυγῶν;
Ἢ τίς Ἑλλανίας ἀπὸ χθονὸς,
Ἔτεμε τὰν δακρυόεσσαν
Ἰλίῳ πεύκαν; ἔνθεν, ὀλόμενον
Σκάφος συναρμόσας,
Ὁ Πριαμίδας

Ἔπλευσε βαρβάρῳ πλάτᾳ·
Τὰν ἐμὰν ἐφ' ἐστίαν,
Ἐπὶ τὸ δυστυχὲς κάλλος,
Ὡς ἕλοι γάμον ἐμόν.
Ἁ δὲ δόλιος, ἁ πολύκτονος
Κύπρις, Δαναΐδαις ἄγουσα
Θάνατον, Πριαμίδαις τε.
Ὦ τάλαινα συμφορᾶς·
Ἡ δὲ χρυσέοις θρόνοις
Διὸς ὑπαγκάλισμα σεμνὸν Ἥρα, τὸν ὠκύπουν
Ἔπεμψε Μαιάδος γόνον,
Ὅς με, χλοερὰ
Δρεπομέναν ἔσω πέπλων
Ῥόδεα πέταλα, χαλκίοικον
Ὡς Ἀθάναν μόλοι-
μ', ἀναρπάσας δι' αἰθέρος,
Τάνδε γαῖαν εἰς ἄνολβον,
Ἔριν, ἔριν τάλαιναν, ἔθετο
Πριαμίδαισιν Ἑλλάδος.
Τὸ δ' ἐμὸν ὄνομα
Παρὰ Σιμουντίοις ῥοαῖσι
Μαψίδιον ἔχει φάτιν.

ΙΑΜΒΟΙ.

Χ. Ἔχεις μὲν ἀλγεῖν, οἶδα· σύμφορον δέ σοι,

Navigavit barbarico remo
Ad meam domum,
Ad infelicem formam,
Ut meum connubium auferret.
Sed doloſa una erat multarum caedium autor
Venus, afferens Graecis
Mortem et Priamidis.
O me miſeram *ob* calamitatem!
Et *in* aureis ſedibus
Juno, venerandus complexus Jovis, celerem
Filium Maiae miſit,
Qui me herbida
Intra peplos decerpentem
Roſarum folia, Chalciaecum
Ut *ad* Minervam irem,
Rapiens per aërem,
In hanc infelicem terram,
Contentionem, contentionem miſeram excitavit
Graeciae in Priamidas.
Meum vero nomen
Ad fluenta Simoëntis
Mendacem infamiam patitur.

IAMBI.

C. Habes quidem graves dolores, ſcio: ſed utile tibi,

Quam facillime neceſſaria vitae *mala* ferre.
H. Charae mulieres, quali fato ſum implicita?
Annon me mater mea prodigium mortalibus peperit?
Nam neque Graeca neque barbara mulier
Edit partu album vas pullorum,
In quo ferunt Ledam me ex Jove peperiſſe.
Prodigium enim *eſt* vita, et caſus mihi,
Partim quidem ob Junonem, partim vero forma
Fuit cauſa: utinam deleta ſicut tabella, iterum
Deteriorem ſpeciem pro illa pulchra forma acciperem.
Et male quidem *meae* fortunae, quam nunc habeo,
Graeci eſſent obliti: non inhoneſtam vero
Servarent, ut malam fortunam *meam* ſervant,
Quiſquis igitur unum caſum ſpectans,
A Diis affligitur, grave *illud* quidem, ſed tamen
Ferendum *eſt*. Nos vero multis in calamitatibus
Verſamur: primum enim cum non peccaverim,
Tamen ſum infamis. Et hoc malum *eſt* majus, quam
Si verum eſſet, ſi cui imputantur mala, quae non
Adſunt ei. Deinde amoverunt me dii ex patria,
Inter mores barbaros; et ego, orbata amicis,
Facta ſum ſerva, quae orta ſum ex liberis. Omnia
Enim apud Barbaros ſerviunt, praeter unum. Sola

Ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.
Ε. Φίλαι γυναῖκες, τίνι πότμῳ συνεζύγην;
Ἆρ' ἡ τεκοῦσά μ' ἔτεκεν ἀνθρώποις τέρας;
Γυνὴ γὰρ οὔθ' Ἑλληνὶς, οὔτε βάρβαρος,
Τεῦχος νεοσσῶν λευκὸν ἐκλοχεύεται,
Ἐν ᾧ με Λήδαν φασὶν ἐκ Διὸς τεκεῖν.
Τέρας γὰρ ὁ βίος, καὶ τὰ πράγματ', ἐστί μοι·
Τὰ μὲν δι' Ἥραν, τὰ δὲ τὸ κάλλος αἴτιον.
Εἴθ' ἐξαλειφθεῖσ', ὡς ἄγαλμ', αὖθις πάλιν,
Αἴσχιον εἶδος ἀντὶ τοῦ καλοῦ λάβω.
Καὶ τὰς τύχας μὲν τὰς κακὰς, ἃς νῦν ἔχω,
Ἕλληνες ἐπελάθοντο· τὰς δὲ μὴ κακὰς
Ἔσωζον, ὥσπερ τὰς κακὰς σώζουσί με.
Ὅστις μὲν οὖν, εἰς μίαν ἀποβλέπων τύχην,
Πρὸς θεῶν κακοῦται, βαρὺ μὲν, οἰστέον δ' ὅμως.
Ἡμεῖς δὲ πολλαῖς συμφοραῖς ἐγκείμεθα·
Πρῶτον μὲν, οὐκ οὖσ' ἄδικος, εἰμὶ δυσκλεής.
Καὶ τοῦτο μεῖζον τῆς ἀληθείας κακὸν,
Ὅστις τὰ μὴ προσόντα κέκτηται κακά.
Ἔπειτα πατρίδος θεοί μ' ἀφιδρύσαντο γῆς,
Εἰς βάρβαρ' ἤθη· καὶ φίλων τητωμένη,
Δούλη καθέστηκ', οὖσ' ἐλευθέρων ἄπο.
Τὰ βαρβάρων γὰρ δοῦλα πάντα, πλὴν ἑνός.

Ἄγκυρα δή μου τὰς τύχας ὀχεῖ μόνη,
Πόσιν ποθ' ἥξειν, καί μ' ἀπαλλάξαι κακῶν·
Οὗτος τέθνηκεν· οὗτος οὐκέτ' ἐστὶ δή.
Μήτηρ δ' ὄλωλε, καὶ φονεὺς αὐτῆς ἐγώ,
Ἀδίκως μὲν, ἀλλὰ τἄδικον τοῦτ' ἔστ' ἐμόν.
Ὃ δ' ἀγλάϊσμα δωμάτων ἐμοῦ τ' ἔφυ,
Θυγάτηρ ἄνανδρος πολιὰ παρθενεύεται.
Τὼ τοῦ Διός δὲ λεγομένω Διοσκόρω,
Οὐκ ἐστόν· ἀλλὰ, πάντ' ἔχουσα δυστυχῆ,
Τοῖς πράγμασι τέθνηκα, τοῖσδ' ἔργοισιν οὔ.
Τὸ δ' ἔσχατον τοῦτ', εἰ μόλοιμεν εἰς πάτραν,
Κλείθροις ἂν εἰργοίμεσθα, τὴν ὑπ' Ἰλίῳ
Δοκοῦντες Ἑλένην Μενέλεῴ μ' ἐλθεῖν μέτα.
Εἰ μὲν γὰρ ἔζη πόσις, ἀνεγνώσθημεν ἂν,
Εἰς ξύμβολ' ἐλθόντες, ἃ φανερὰ μόνοις ἂν ἦν.
Νῦν δ' οὔτε τοῦτ' ἔστ', οὔτε μὴ σωθῇ ποτε.
Τί δῆτ' ἔτι ζῶ; τίν' ὑπολείπομαι τύχην;
Γάμους ἑλομένη τῶν κακῶν ὑπαλλαγὰς,
Μετ' ἀνδρὸς οἰκεῖν βαρβάρου, πρὸς πλουσίαν
Τράπεζαν ἵζουσ'; ἀλλ', ὅταν πόσις πικρὸς
Ξυνῇ γυναικὶ, καὶ τὸ σῶμ' ἐστὶ πικρὸν,
Θανεῖν κράτιστον· πῶς θάνοιμ' ἂν οὐ καλῶς;
Ἀσχήμονες μὲν ἀγχόναι μετάρσιοι,

Autem anchora, quae ſuſtinebat meam fortunam,
Meum maritum aliquando venturum, et me
Liberaturum ex *his* malis: ille jam eſt mortuus; ille
Non eſt amplius. Mater etiam periit, et ego
Interfectrix *ſum* ejus: inopinanter quidem, ſed
Tamen inopinum hoc a me ortum eſt. Quod autem
Fuit decus domus meique, filia ſine viro caneſcit
Virgo. Caſtor vero et Pollux, qui dicuntur filii Jovis,
Non ſunt *amplius:* Quamobrem miſera patiens,
Caſibus perii, non actibus propriis.
Hoc vero poſtremum *eſt*, ſi veniamus in patriam,
Carcere coërcebimur: illam, quae Trojae fuit,
Exiſtimantibus me Helenam cum Menelao veniſſe.
Nam ſi viveret maritus, agnoſceremur *alter ab*
Altero, ad ſigna venientes quae *nobis* ſolis erant nota.
Nunc vero neque hoc eſt, neque ſervabitur *ille*
Unquam. Quid igitur amplius vivo? cui reſervor
Fortunae? an nuptias eligens mutationem malorum,
Ut habitem cum viro barbaro, ad opulentam
Menſam ſedens? At quando maritus inviſus
Habitat cum muliere, et lux *eſt* inviſa,
Optimum *eſt* mori: quomodo vero moriar honeſte?
Turpia enim *ſunt* ſuſpendia in aëre:

Quinetiam in ſervis *hoc* foedum exiſtimatur.
Sed caedes habent aliquid generoſi, et pulchri.
Parvi autem momenti *eſt* tempus, tametſi abeas jam
Ex *hac* vita: in tantam enim malorum profunditatem
Venimus. Nam aliae quidem propter formam *ſunt*
Felices mulieres: nos vero hoc ipſum perdidit.
C. Helena, hoſpitem, qui venit, quiſquis eſt ille,
Ne putes omnia vera dixiſſe.
A. Atqui clare dixit maritum *meum* periiſſe.
C. Multi rumores mendacium ludicra ſunt. H. Et e
Contra, Veritates perſpicuae. C. Ad calamitatem enim
Potius, quam ad bonum es propenſa. H. Metus enim
Me convertens in hanc formidinem ducit. C. Quomodo
Vero Gratiae in his aedibus habes? H. Omnes ſunt
Mei amici, praeter regem, qui ſectatur *meas* nuptias.
C. Scis igitur, quid faciendum tibi ſit? relinque hunc
Locum ſepulchri. H. Ad quem ſermonem aut
Adhortationem vadis? C. Ingreſſa in aedes, *illam*,
Quae omnia novit, ex marina Nereide natam puellam
Theonoen, interroga, an tuus maritus adhuc vivat,
An vero reliquerit lucem. Ubi vero bene *rem*
Cognoveris, pro fortuna gaudio vel luctui indulge:
Nam priuſquam recte ſcias aliquid, quid tibi proderit

Κἂν τοῖσι δούλοις δυσπρεπὲς νομίζεται,
Σφαγαὶ δ' ἔχουσιν εὐγενές τι, καὶ καλὸν,
Σμικρὸν δ' ὁ καιρὸς ἄρτ' ἀπαλλάξαι βίου.
Εἰς γὰρ τοσοῦτον ἤλθομεν βάθος κακῶν·
Αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς
Γυναῖκες· ἡμᾶς δ' αὐτὸ τοῦτ' ἀπώλεσεν.
Χ. Ἑλένη, τὸν ἐλθόνθ', ὅστις ἐστιν ὁ ξένος,
Μὴ πάντ' ἀληθῆ δοξάσῃς εἰρηκέναι.
Ε. Καὶ μὴν σαφῶς γ' ἔλεξ' ὀλωλέναι πόσιν.
Χ. Πόλλ' ἂν γένοιτο καὶ διὰ ψευδῶν ἔπη.
Ε. Καὶ τἄμπαλίν γε τῶνδ' ἀληθείας σαφῆ.
Χ. Εἰς ξυμφορὰν γὰρ ἀντὶ τἀγαθοῦ φέρῃ.
Ε. Φόβος γὰρ εἰς τὸ δεῖμα περιβαλών μ' ἄγει.
Χ. Πῶς δ' εὐμενείας τοῖσιδ' ἐν δόμοις ἔχεις;
Ε. Πάντες φίλοι μοι, πλὴν ὁ θηρεύων γάμους.
Χ. Οἶσθ' οὖν ὃ δρᾶσον; μνήματος λιποῦσ' ἕδραν.
Ε. Εἰς ποῖον ἕρπεις μῦθον, ἢ παραίνεσιν;
Χ. Ἐλθοῦσ' ἐς οἴκους, ἣ τὰ πάντ' ἐπίσταται,
Τῆς ποντίας Νηρῇδος ἐκγόνου κόρης,
Πυθοῦ πόσιν σὸν Θεονόης, εἴτ' ἔστ' ἔτι,
Εἴτ' ἐκλέλοιπε φέγγος· ἐκμαθοῦσα δ' εὖ,
Πρὸς τὰς τύχας τὸ χάρμα, τοὺς γόους τ', ἔχε.
Πρὶν δ' οὐδὲν ὀρθῶς εἰδέναι, τί σοι πλέον

Λυπουμένη γένοιτ' ἄν; ἀλλ' ἐμοὶ πιθοῦ.
Τάφον λιποῦσα τόνδε, σύμμιξον κόρῃ,
Ὅθενπερ εἴσῃ πάντα τἀληθῆ φράσαι.
Ἔχουσ' ἐν οἴκοις τοῖσδε, τί βλέπεις πρόσω;
Θέλω δὲ κἀγώ σοι συνεισελθεῖν δόμους,
Καὶ συμπυθέσθαι παρθένου θεσπίσματα·
Γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ε. Φίλαι, λόγους ἐδεξάμαν.
Βᾶτε, βᾶτε δ' εἰς δόμους,
Ἀγῶνας ἐντὸς δόμων
Ὡς πύθησθε τοὺς ἐμούς.
Χ. Θέλουσαν οὐ μόλις καλεῖς.
Ε. Ἰὼ μέλεος ἁμέρα,
Τίν' ἄρα τάλαινα, τίνα δακρυό-
εντα λόγον ἀκούσομαι;
Χ. Μὴ πρόμαντις ἀλγέων,
Προλάμβαν', ὦ φίλα, γόους.
Ε. Τί μοι πόσις μέλεος ἔτλα;
Πότερα δέρκεται φάος,
Τέθριππά τ' ἀελίου,
Ἐς κέλευθά τ' ἀστέρων, ἢ νέκυσι κατὰ χθονὸς
Τὰν χθόνιον ἔχει τύχαν;

Si doleas? Quamobrem obtempera mihi.
Relicto hoc ſepulchro, convenias puellam,
Unde ſcies omnia; verum cognoſcendi
Facultatem habens in his aedibus, quid proſpectas
Ulterius? Volo autem et ego tecum ingredi domum,
Et ſimul audire virginis oracula:
Mulier enim debet mulierem adjuvare.

MONOSTROPHICA.

H. Amicae, ſermones veſtros amplector:
Ite, ite igitur in domum,
In aedibus diſcrimina
Ut audiatis mea.
C. Vocas non aegre volentem.
H. O diem infelicem!
Quam igitur miſera *ego*, quam lacryma-
bilem orationem audiam?
C. Ne praeſaga dolorum,
Praecipias, o chara, luctus.
H. Quidnam meus maritus miſer paſſus eſt?
An videt lucem,
Ad quadrijugos currus ſolis,
Et vias aſtrorum? an vero inter mortuos ſub terra
Regiam habet fortunam?

C. In melius interpretare,
Quicquid eſt futurum.
H. Te invoco, et te jure jurando obteſtor,
Humidum arundine virentem
Eurotam, de mortuo
Si vera *eſt* fama viro meo.
C. Quid haec abſurda?
H. Lethale ſuſpendium per collum extendar:
Aut enſis impulſum, cruentae caedis
Certamen ferreum intus per carnes trajiciam,
Victimam tribus Deabus, et ei, qui fiſtula cantus
Colebat quondam, juxta Priami bovilia.
C. Alio vertantur haec mala; tuae vero *res ſint* felices.
H. O Troja infelix,
Propter facta infecta peris et ſuſtinuiſti miſera.
Mea vero dona, o Venus, pepererunt
Multum ſanguinem multaſque lacrymas:
Et dolores doloribus, lachrymas lachrymis,
Pepulerunt aerumnae;
Matreſque amiſerunt liberos,
Virgines vero *raſam* comam,
Sorores mortuorum, poſuerunt

Χ. Εἰς τὸ φέρτερον τίθει
Τὸ μέλλον, ὅ, τι γενήσεται.
Ε. Σὲ γὰρ ἐκάλεσα, σὲ δὲ κατώμοσα,
Τὸν ὑδρόεντα δόνακι χλωρὸν
Εὐρώταν, θανόντος
Εἰ βάξις ἔτυμος ἀνδρὸς ἅδε μοι.
Χ. Τί τάδ᾽ ἀσύνετα;
Ε. Φόνιον αἰώρημα διὰ δέρης ὀρέξομαι,
Ἢ ξιφοκτόνον δίωγμα λαιμορύτε σφαγᾶς
Αὐτοσίδαρον ἔσω πελάσω διὰ σάρκας, ἅμιλλα,
Θῦμα τριζύγοις θεαῖσι, τῷ τε σύριγγ᾽ ἀοιδαὶ σέβιζον Πριαμίδας πότ᾽ ἀμφὶ βεςάθμες.
Χ. Ἄλλοσ᾽ ἀποτροπὰ κακῶν γένοιτο· τὸ δὲ σὸν, εὐτυχές.
Ε. Ἰὼ Τροία τάλαινα,
Δι᾽ ἔργ᾽ ἄνεργ᾽ ὄλλυσαι, μέλεά τ᾽ ἔτλας·
Τὰ δ᾽ ἐμὰ δῶρα, Κύπρις ἔτεκε
Πολὺ μὲν αἷμα, πολὺ δὲ δάκρυον·
Ἄχεά τ᾽ ἄχεσι, δάκρυα δάκρυσιν
Ἔλαβε πάθεα·
Ματέρες τε παῖδας ὤλεσαν.
Ἄπο δὲ παρθένοι κόμας
Ἔθεντο, σύγγονοι νεκρῶν,

Σκαμάνδριον ἀμφὶ Φρύγιον οἶδμα.
Βοὰν, βοὰν δ' Ἑλλὰς
Κελάδησε, κἀνωτότυξεν·
Ἐπὶ δὲ κρατὶ χέρας ἔθηκεν,
Ὄνυχι δ' ἁπαλόχροα γένυν
Ἔδευσε φονίαισι πλαγαῖς.
Ὦ μάκαρ Ἀρκαδία ποτὲ παρθένε
Καλλιστοῖ, Διὸς ἃ λεχέων ἐπέ-
βας τετραβάμοσι γύοις,
Ὡς πολὺ ματρὸς ἐμᾶς ἔλαχες πλέον.
Ἃ μορφᾷ θηρᾶν, λάχνᾳ γύων,
Ὄμματι λάβρῳ, σχῆμα λεαίνης
Ἐξαλλάξασ', ἄχεα λύπης.
Ἅν τέ ποτ' Ἄρτεμις ἐξεχορεύσατο,
Χρυσοκέρωτ' ἔλαφον, Μέροπος Τιτανίδα κούραν
Καλλοσύνας ἕνεκεν· τὸ δ' ἐμὸν δέμας
Ὤλεσεν, ὤλεσεν
Πέργαμα Δαρδανίας,
Ὀλομένους τ' Ἀχαιούς.

ΙΑΜΒΟΙ.

Μ. Ὦ τὰς τεθρίππους Οἰνομάου Πίσαν κάτα
Πέλοψ ἁμίλλας ἐξαμιλληθεὶς ποτὲ,
Εἴθ' ὤφελες τόθ', ἡνίκ' ἔρανον εἰς θεοὺς

Ad Scamandrum fluvium Phrygiae.
Vocem vero vocem Graecia
Reſonantem edidit et exultavit;
Capiti vero manus impoſuit,
Unguibuſque teneras genas
Cruentavit letalibus plagis.
O felix ex Arcadia olim virgo
Calliſto, quae cubile Jovis
Conſcendiſti quadrupedibus membris,
Ut felicior eras matre mea!
Quae forma ferarum hirtarum,
Truci aſpectu, ſpeciem Deae
Mutans, dolore liberata es: et quam
Diana quondam ejecit-extra-ſuum-chorum, cervam
Habentem aurea cornua, filiam Meropis Titaniam,
Propter pulchritudinem. Meum vero corpus
Perdidit, perdidit
Pergama Trojana,
Et miſeros Graecos.

IAMBI.

M. O qui circa Piſam Oenomai quadrijugum
Certamen viciſti aliquando *Pelops*,
Utinam, tunc quando convivium inter deos

Faciebas diſſectus, inter deos reliquiſſes vitam,
Priuſquam patrem meum Atreüm genuiſſes,
Qui ex congreſſu cum Aërope genuit
Agamemnonem, et me Menelaum, inclytum par.
Maximum enim credo, hoc autem ſine jactantia dico,
Exercitum ad Trojam remis traduxiſſe me,
Regem, per vim imperans nihil,
Sed juvenes Graeciae volentes regens. et quidem
Horum nonnullos haud amplius viventes numerare
Licet, alios vero, qui ex mari lubenter effugerunt,
Ferentes retro domum nomina mortuorum.
At ego ſupra undas caerulei maris
Miſer erro, ex quo tempore Ilii
Turres everti, et in patriam cupiens redire,
A Diis dignus non judicor, qui hoc conſequar:
Libyaeque deſertos, inhoſpitaleſque portus,
Omnes adnavigavi: et quando prope patriam ſum,
Ventus me rurſus *alio* rejicit: nec adhuc ſecundus
Intravit velum, ut ego in patriam redirem.
Et nunc miſer naufragus, amiſſis amicis,
Ejectus ſum in hanc terram: navis autem ad ſaxa
Magnum numerum naufragiorum fracta eſt,
Carina vero *mihi* relicta eſt variis compagibus,

Πριαθεὶς ἐποίεις, ἐν θεοῖς λιπεῖν βίον·
Πρὶν τὸν ἐμὸν Ἀτρέα πατέρα γεννῆσαί ποτε,
Ὃς ἐξέφυσεν Ἀερόπης λέκτρων ἄπο,
Ἀγαμέμνον', ἐμέ τε Μενέλεων, κλεινὸν ζυγόν·
Πλεῖστον γὰρ οἶμαι, καὶ τόδ' οὐ κόμπῳ λέγω,
Στράτευμα κώπῃ διορίσαι Τροίαν ἔπι
Τύραννος, οὐδὲν πρὸς βίαν στρατηλατῶν,
Ἑκοῦσι δ' ἄρξας Ἑλλάδος νεανίαις.
Καὶ τοὺς μὲν οὐκ ἔτ' ὄντας ἀριθμῆσαι πάρα,
Τοὺς δ', ἐκ θαλάσσης ἀσμένους πεφευγότας,
Νεκρῶν φέροντας ὀνόματ' εἰς οἴκους πάλιν.
Ἐγὼ δ' ἐπ' οἶδμα πόντιον γλαυκῆς ἁλὸς
Τλήμων ἀλῶμαι χρόνον, ὅσονπερ Ἰλίου
Πύργοις ἔπερσα· κεἰς πάτραν χρήζων μολεῖν,
Οὐκ ἀξιοῦμαι τοῦδε πρὸς θεῶν τυχεῖν.
Λιβύης τ' ἐρήμους, ἀξένου τ' ἐπιδρομὰς
Πέπλευκα πάσας· χ' ὤταν ἐγγὺς ὦ πάτρας,
Πάλιν μ' ἀπωθεῖ πνεῦμα· κοὔποτ' οὔριον
Εἰσῆλθε λαῖφος, ὥστέ μ' εἰς πάτραν μολεῖν.
Καὶ νῦν τάλας ναυαγὸς, ἀπολέσας φίλους,
Ἐξέπεσον εἰς γῆν τῆνδε· ναῦς δὲ πρὸς πέτρας
Πολλοὺς ἀριθμοὺς ἄγνυται ναυαγίων.
Τρόπις δ' ἐλείφθη ποικίλων ἁρμοσμάτων,

Ἐφ' ἧς ἐσώθην μόλις ἀνελπίστῳ τύχῃ,
Ἑλένη τε, Τροίας ἣν ἀποσπάσας ἔχω.
Ὄνομα δὲ χώρας, ἥτις ἥδε καὶ λεὼς,
Οὐκ οἶδ'· ὄχλον γὰρ εἰσπεσεῖν ᾐσχυνόμην,
Ὥσθ' ἱστορῆσαι τὰς ἐμὰς δυσχλαινίας,
Κρύπτων ὑπ' αἰδοῦς τὰς τύχας· ὅταν δ' ἀνὴρ
Πράξῃ κακῶς ὑψηλὸς, εἰς ἀηθίαν
Πίπτει κακίω τοῦ πάλαι δυσδαίμονος.
Χρεία δὲ τείρει μ'· οὔτε γὰρ σῖτον πάρα,
Οὔτ' ἀμφὶ χρῶτ' ἐσθῆτες· αὐτὰ δ' εἰκάσαι
Πάρεστι· ναὸς ἐκβόλοις ἀμπίσχομαι·
Πέπλους δὲ τοὺς πρὶν, λαμπρά τ' ἀμφιβλήματα,
Χλιδάς τε, πόντος ἥρπασ'· ἐν δ' ἄντρου μυχοῖς
Κρύψας γυναῖκα, τὴν κακῶν πάντων ἐμοὶ
Ἄρξασαν, ἥκω, τούς γε περιλελειμμένους
Φίλων φυλάσσειν τἄμ' ἀναγκάσας λέχη.
Μόνος δὲ νοστῶ, τοῖς ἐκεῖ ζητῶν φίλοις
Τὰ πρόσφορ', ἤν πως ἐξερευνήσας λάβω.
Ἰδὼν δὲ δῶμα περιφερὲς θριγκοῖς τόδε,
Πύλας τε σεμνὰς ἀνδρὸς ὀλβίου τινὸς,
Προσῆλθον· ἐλπὶς δ' ἔκ τε πλουσίων δόμων
Λαβεῖν τι ναύταις· ἐκ δὲ μὴ 'χόντων βίον,
Οὐδ' εἰ θέλοιεν, ὠφελεῖν ἔχοιεν ἄν.

Super qua ſervatus ſum aegre, inſperato caſu.
Helenaque, quam a Troja abſtractam duco.
Nomen autem regionis, quis ſit, et populus,
Non novi: turbam enim adire erubui,
Ne meas veſtium ſordes cognoſcerent,
Occultans prae pudore *meas* miſerias. Quum enim vir
Magnas in miſerias incidit, in novam vitae rationem
Incidit deteriorem, quam is qui pridem eſt infelix.
Neceſſitas vero me cruciat: nam neque cibus adeſt
Mihi, neque veſtes circa corpus. Hoc autem
Conjicere licet; Navis ejectamentis tegor:
Peplos enim priores ſplendidaſque veſtes,
Deliciaſque mare rapuit; inque antri receſſu
Occultata uxore, quae mihi omnium malorum
Cauſa fuit, venio, reliquis
Sociis coactis ſervare meos lectos: ſolus
Vero oberro, quaerens ſociis meis, qui illic *ſunt*,
Res neceſſarias, ſicubi inveniens accipam.
Conſpicatus autem hanc domum undique pinnis
Ornatam, et pulchras portas divitis alicujus viri,
Acceſſi. Spes enim *eſt* opulentis aedibus *me*
Accepturum aliquid *meis* nautis. Nam ex nihil
Habentibus, ne quidem ſi veliat juvare, obtinuerint

Aliquid. Ohe! Quis janitor veniet ex aedibus,
Qui narret mea mala intro?
A. Quis *eſt* ad fores? non diſcedes ab aedibus,
Nec ſtans ad fores atrii
Moleſtiam praebebis dominis? aut morieris,
Cum ſis Graecus, quibus nulla effugia.
M. O anus, haec omnia verba recte dicis;
Licetne? parebo enim, ſed, permitte ſermone.
A. Abi, nam hoc *munus* mihi incumbit, o hoſpes,
Ne quis Graecus accedat ad hanc domum. M. Ah!
Ne impingas *mihi* manum, neque per vim *me* pellas.
A. Non enim obtemperas quidquam eorum, quae
Dico: culpa autem penes te. M. Nuncia intus tuis
Dominis. A. Vereor, ne acerbum fuerit mihi ſi intus
Tua verba nunciem. M. Venio naufragus hoſpes,
Non violandum *hominum* genus. A. Vade nunc ad
Aliam aliquam domum prae hac. M. Non, ſed
Intrabo: tu vero pare mihi. A. Scito te eſſe moleſtum,
Et mox depelleris vi. M. Heu, heu, ubi ſunt mei
Egregii exercitus? A. Illic igitur fortaſſe fuiſſes
Venerandus, non hic. M. O Fortuna, quam indigna
Contumelia afficimur? A. Quare palpebras humectas
lachrymis; ob quid doles?

Ὠή· τίς ἂν πυλωρὸς ἐκ δόμων μόλοι,
Ὅστις διαγγείλειε τἄμ' εἴσω κακά;
Γ. Τίς πρὸς πύλαισιν; οὐκ ἀπαλλάξῃ δόμων,
Καὶ μὴ, πρὸς αὐλείοισιν ἑστηκὼς πύλαις,
Ὄχλον παρέξεις δεσπόταις; ἢ κατθανῇ
Ἕλλην πεφυκὼς, οἷσιν οὐκ ἐπιστροφαί.
Μ. Ὦ γραῖα, ταῦτα πάντ' ἔπη καλῶς λέγεις.
Ἔξεστι; πείσομαι γάρ· ἀλλ' ἄνες λόγον.
Γ. Ἄπελθ'· ἐμοὶ γὰρ τοῦτο πρόσκειται, ξένε,
Μηδένα πελάζειν τοῖσι δ' Ἑλλήνων δόμοις.
Μ. Ἆ· μὴ προσείλα χεῖρα, μήδ' ὤθει βίᾳ.
Γ. Πείθῃ γὰρ οὐδὲν, ὧν λέγω· σὺ δ' αἴτιος.
Μ. Ἄγγειλον εἴσω δεσπόταισι τοῖσι σοῖς.
Γ. Πικρῶς ἂν οἶμαί γ' ἀγγελεῖν τοὺς σοὺς λόγους.
Μ. Ναυαγὸς ἥκω, ξένος, ἀσύλητον γένος.
Γ. Οἶκον πρὸς ἄλλον νῦν τιν' ἀντὶ τοῦδ' ἴθι.
Μ. Οὐκ· ἀλλ' ἔσω πάρειμι· καὶ σύ μοι πιθοῦ.
Γ. Ὀχληρὸς ἴσθ' ὤν· καὶ τάχ' ὠσθήσῃ βίᾳ.
Μ. Αἶ, αἴ· τὰ κλεινὰ ποῦ 'στί μοι στρατεύματα;
Γ. Οὐκοῦν ἐκεῖ που σεμνὸς ἦσθ', οὐκ ἐνθάδε.
Μ. Ὦ δαῖμον, ὡς ἀνάξι' ἠτιμώμεθα.
Γ. Τί βλέφαρα τέγγεις δάκρυσι; πρὸς τίν' οἰκτρὸς εἶ;

Μ. Πρὸς τὰς πάροιθεν συμφορὰς εὐδαίμονας.
Γ. Οὐκοῦν ἀπελθὼν δάκρυα σοῖς δώσεις φίλοις.
Μ. Τίς δ' ἥδε χώρα; τοῦ δὲ βασίλειοι δόμοι;
Γ. Πρωτεὺς τάδ' οἰκεῖ δώματ'· Αἴγυπτος δὲ γῆ.
Μ. Αἴγυπτος; ὢ δύστηνος, οἷ πέπλευκ' ἄρα.
Γ. Τί δὴ τὸ Νείλου μεμπτόν ἐστί σοι γένος;
Μ. Οὐ τοῦτ' ἐμέμφθην· τὰς ἐμὰς στένω τύχας.
Γ. Πολλοὶ κακῶς πράσσουσιν, οὐ σὺ δὴ μόνος.
Μ. Ἔστ' οὖν ἐν οἴκοις, ὅντιν' ὀνομάζεις, ἄναξ;
Γ. Τόδ' ἐστὶν αὐτοῦ μνῆμα· παῖς δ' ἄρχει χθονός.
Μ. Ποῦ δῆτ' ἂν εἴη; πότερον ἐκτὸς, ἢ 'ν δόμοις;
Γ. Οὐκ ἔνδον· Ἕλλησιν δὲ πολεμιώτατος.
Μ. Τίν' αἰτίαν σχών, ἧς ἐπηυρόμην ἐγώ;
Γ. Ἑλένη κατ' οἴκους ἐστὶ τούσδ', ἡ τοῦ Διός.
Μ. Πῶς φής; τίν' εἶπας μῦθον; αὖθίς μοι φράσον.
Γ. Ἡ Τυνδαρὶς παῖς, ἣ κατὰ Σπάρτην ποτ' ἦν.
Μ. Πόθεν μολοῦσα; τίνα τὸ πρᾶγμ' ἔχει λόγον;
Γ. Λακεδαίμονος γῆς δεῦρο νοστήσασ' ἄπο.
Π. Πότ'; οὔτι που λελήσμεθ' ἐξ ἄντρων λέχους;
Γ. Πρὶν τοὺς Ἀχαιοὺς, ὦ ξέν', εἰς Τροίαν μολεῖν.
Ἀλλ' ἕρπ' ἀπ' οἴκων· ἔστι γάρ τις ἐν δόμοις
Τύχη, τύραννος ᾗ ταράσσεται δόμος.
Καιρὸν γὰρ οὐδὲν ἦλθες· ἢν δὲ δεσπότης

M. Ob res olim beatas.

A. Quin tu diſcedens lacrymas tuis amicis dabis.

M. Quaenam haec regio? cujus ſunt iſtae regiae aedes

A. Proteus hanc domum incolit: terra vero haec

Aegyptus. M. Aegyptus? o me infelicem, quo

Igitur navigavi! A. Cur vero Nili gens tibi vituperatur

M. Non iſtam vitupero: ſed gemo meam fortunam.

A. Multi ſunt infelices, non tu ſolus.

M. Eſtne igitur domi rex, de quo dicis?

A. Hoc eſt ejus ſepulchrum, filius vero eſt dominus

Terrae. M. Ubi vero eſt? Utrum foris, an domi?

A. Non eſt intus; Graecis autem eſt infenſiſſimus.

M. Quam cauſam habet, quam ego luo?

A. Helena eſt in his aedibus, filia Jovis.

M. Quomodo ais? quem ſermonem dixiſti? dic mihi

Iterum. A. Filia Tyndarei, quae Spartae quondam

Erat. M. Unde profecta? quam rationem iſta res

Habet? A. Ex agro Laconico huc profecta.

M. Quando! num ſpoliati ſumus conjuge ex antro?

A. Priuſquam Graeci venirent ad Trojam, o hoſpes.

Quare diſcede a domo: nam eſt quaedam in domo

Calamitas, qua turbatur domus regia.

Non veniſti tempeſtive: ſi vero dominus

Ceperit te, mors erit tibi loco xeniorum.
Benevola enim ſum Graecis non quantum aſperos
Sermones *tibi* dedi, timens dominum *meum*.
M. Quid dicam? quid loquar? miſeras enim aerumnas
Audio praeſentes haſce, praeter priores.
Si adducens receptam ex Troja
Conjugem venio, et in antro ſervatur,
Nomen vero idem habens, quod mea uxor,
Aliqua alia, in his habitat aedibus.
Dixit profecto, eam eſſe filiam Jovis:
Sed an eſt aliquis Vir, qui habet nomen Jovis
Ad ripam Nili? nam qui in coelo eſt, unicus eſt.
Ubi vero terrarum eſt Sparta, niſi ubi fluenta
Sunt Eurotae, qui habet pulchros calamos tantum?
Unum vero nomen Tyndarei celebratur? quae vero eſt
Terra, quae idem nomen habeat cum Lacedaemone,
Et Troja? ego certe non habeo quid dicam.
Multi enim, ut videtur, in diverſis regionibus
Habent eadem nomina, et civitas cum civitate,
Et mulier cum muliere: non *eſt* igitur mirandum.
Neque rurſus fugiemus terribile iſtud a Janitrice
Denunciatum. Nullus enim vir *eſt* tam barbaro animo,
Qui audito meo nomine, non ſit daturus cibum.

Λάβῃ σε, θάνατός ξένιά σοι γενήσεται.
Εὔνους γάρ εἰμ' Ἕλλησιν, οὐχ ὅσον πικροὺς
Λόγους ἔδωκα, δεσπότην φοβουμένη.
Μ. Τί φῶ; τί λέξω; συμφορὰς γὰρ ἀθλίας
Ἐκ τῶν πάροιθεν τὰς παρεστώσας κλύω,
Εἰ τὴν μὲν αἱρεθεῖσαν ἐκ Τροίας ἄγων
Ἥκω δάμαρτα, καὶ κατ' ἄντρα σώζεται.
Ὄνομα δὲ ταυτὸν τῆς ἐμῆς ἔχουσά τις
Δάμαρτος ἄλλη τοῖσιδ' ἐνναίει δόμοις.
Διός γ' ἔλεξε παῖδά νιν πεφυκέναι.
Ἀλλ' ἦ τίς ἐστι, Ζηνὸς ὄνομ' ἔχων, ἀνὴρ
Νείλου παρ' ὄχθαις; εἷς γὰρ ὅγε κατ' οὐρανόν.
Σπάρτη δὲ ποῦ γῆς ἐστὶ, πλὴν ἵν' αἱ ῥοαὶ
Τοῦ καλλιδόνακός εἰσιν Εὐρώτα μόνον;
Ἁπλοῦν δὲ Τυνδάρειον ὄνομα κλῄζεται.
Λακεδαίμονος δὲ γαῖά τις ξυνώνυμος,
Τροίας τ'; ἐγὼ μὲν οὐκ ἔχω τι χρὴ λέγειν.
Πολλοὶ γὰρ, ὡς εἴξασιν, ἐν πολλῇ χθονὶ,
Ὀνόματα ταῦτ' ἔχουσι, καὶ πόλις πόλει,
Γυνὴ γυναικί τ'· οὐδὲν οὖν θαυμαστέον·
Οὐδ' αὖ τὸ δεινὸν πρόσπολου φευξούμεθα.
Ἀνὴρ γὰρ οὐδεὶς ὧδε βάρβαρος φρένας,
Ὃς, ὄνομ' ἀκούσας τοὐμὸν, οὐ δώσει βοράν.

Κλεινὸν τὸ Τροίας πῦρ· ἐγώ θ', ὃς ἧψά νιν,
Μενέλαος, ἐκ ἄγνωςος ἐν πάσῃ χθονί.
Δόμων ἄνακτα προσμενῶ γ'· ἔχει δέ μοι
Δισσὰς φυλάξεις· ἢν μὲν ὠμόφρων τις ἦ,
Κρύψας ἐμαυτὸν, εἶμι πρὸς ναυάγια.
Ἢν δ' ἐνδιδῷ τι μαλθακὸν, τὰ πρόσφορα
Τῆς νῦν παρέσης συμφορᾶς αἰτήσομαι.
Κακῶν δέ θ' ἡμῖν ἔχατον τοῖς ἀθλίοις,
Ἄλλες τυράννες, αὐτὸν ὄντα βασιλέα,
Βίον προσαιτεῖν· ἀλλ' ἀναγκαίως ἔχει.
Λόγος γάρ ἐςιν ἐκ ἐμὸς, σοφῶν δ' ἔπος,
Δεινῆς ἀνάγκης ἐδὲν ἰχύειν πλέον.

ΣΤΣΤΗΜΑ.

Χ. Ἤκεσα τᾶς θεσπιῳδοῦ κόρας,
Ἃ χρήζεσ' ἐφάνη τυράννοις
Δόμοις, ὡς Μενέλαος ἔπω
Μελαμφαὲς οἴχεται
Δι' ἔρεβος, χθονὶ κρυφθείς·
Ἀλλ', ἔτι κατ' οἶδμ' ἅλιον
Τρυχόμενος, οὔπω λιμένων
Ψαύσειε πατρίας γᾶς,
Ἀλατεία βιότε
Ταλαίφρων, ἄφιλος φίλων,

Notus *eſt* ignis Trojae: egoque, qui accendi ipſum,
Menelaus, non ſum ignotus in ulla regione.
Expectabo igitur dominum domus: habet autem
Mihi duplicem cavendi rationem. Si quidem eſt
Crudelis, occultans me, ibo ad fractas tabulas navis.
Si vero mite quid oſtenderit, neceſſaria *ſubſidia*
Praeſenti calamitate petam:
Malorum vero nobis miſeris *illud eſt* extremum,
Quod ab aliis tyrannis, ipſe qui ſum rex,
Petere cogor victum: ſed *hoc* neceſſarium eſt.
Non eſt autem meus ſermo, ſed ſapientum,
Nihil eſſe valentius gravi neceſſitate.

SYSTEMA.

C. Audivi ex fatidica puella,
Quae oraculum-rependens declaravit *in* regiis
Aedibus quod Menelaus, nondum
Nigrum abiit
Per Erebum, humo tectus:
Sed adhuc ſupra fluctus marinos
Vexatus, nondum portus
Patriae terrae attigerit,
Vita in erratica,
Miſer, ſine amicis,

Ad omnem terram
Admovens pedem marino
Remo ex terra Trojana.

IAMBI.

H. At ego ad ſedem hujus ſepulchri iterum
Vado, poſtquam cognovi charos ſermones Theonoes,
Quae omnia bene ſcit: dicit autem in mari
Meum maritum viventem intueri lucem,
Navigioque trajectis ſexcentis fretis errare
Huc et illuc, nec inexercitatem erroribus
Venturum, quando conſecutus fuerit finem malorum.
Unum vero non dixit, num ſalvus ſit venturus.
Ego autem id percontari palam deſtiti,
Delectata, quod eum ſalvum *eſſe* mihi dixit.
Et nunc prope hanc terram eſſe dicebat,
Ejectum naufragio cum paucis amicis. Hei
Mihi! ecquando aderis? ut deſideratus venies!
Age quis eſt? nunquid occultis inſidiis captor
Ex inſidioſis conſiliis impii filii Protei?
Non tanquam equa currens, aut Baccha Dei,
Admovebo pedem ſepulchro? ferus autem quidam
Aſpectu eſt iſte, qui me venando conatur capere.
M. Te feſtinantem ingenti impetu

Παντοδαπᾶς ἐπὶ γᾶς
Πόδα χριμπτόμενος ἐναλίῳ
Κώπᾳ Τρῳάδος ἐκ γᾶς.

ΙΑΜΒΟΙ.

Ε. Ἤδ' αὖ τάφου τοῦδ' εἰς ἕδρας ἐγὼ πάλιν
Στείχω, μαθοῦσα Θεονόης φίλους λόγους,
Ἣ πάντ' ἀληθῶς οἶδε· φησὶ δ' ἐν φάει
Πόσιν τὸν ἁμὸν ζῶντα φέγγος εἰσορᾷν,
Πορθμοὺς δ' ἀλᾶσθαι μυρίους πεπλωκότα
Ἐκεῖσε κᾀκεῖσ'· οὐδ' ἀγύμναστον πλάνοις
Ἥξειν, ὅταν δὴ πημάτων λάβῃ τέλος.
Ἓν δ' οὐκ ἔλεξεν, εἰ μολὼν σωθήσεται·
Ἐγὼ δ' ἀπέστην τοῦτ' ἐρωτῆσαι σαφῶς,
Ἡσθεῖσ', ἐπεί νιν εἶπέ μοι σεσωσμένον.
Ἐγγὺς δὲ νίν που τῆσδ' ἔφασκ' εἶναι χθονὸς,
Ναυαγὸν ἐκπεσόντα σὺν παύροις φίλοις·
Ὥς μοι πόθ' ἥξεις, ὡς ποθεινὸς ἂν μόλοις.
Ἔα, τίς οὗτος; οὔτι που κρυπτεύομαι
Πρωτέως ἀσέπτου παιδὸς ἐκ βουλευμάτων;
Οὐχ, ὡς δρομαία πῶλος, ἢ Βάκχη θεοῦ,
Τάφῳ ξυνάψω κῶλον; ἄγριος δέ τις
Μορφὴν ὅδ' ἐστιν, ὅς με θηρᾶται λαβεῖν.
Μ. Σὲ, τὴν ὄρεγμα δεινὸν ἡμιλλημένην

Τύμβου 'πὶ κρηπῖδ' ἐμπύρους τ' ὀρθοστάτας·
Μεῖνον· τί φεύγεις ὡς δέμας δείξασά σου,
Ἔκπληξιν ἡμῖν, ἀφασίαν τε, προστιθεῖς.
Ε. Ἀδικούμεθ', ὦ γυναῖκες· εἰργόμεσθα γὰρ
Τάφου, πρὸς ἀνδρὸς τοῦδε· καί μ' ἑλὼν θέλει
Δοῦναι τυράννοις, ὧν ἐφεύγομεν γάμους.
Μ. Οὐ κλῶπές ἐσμεν, οὐχ ὑπηρέται κακῶν.
Ε. Καὶ μὴν στολήν γ' ἄμορφον ἀμφὶ σῶμ' ἔχεις.
Μ. Στῆσον, φόβου μεθεῖσα, λαιψηρὸν πόδα.
Ε. Ἵστημ', ἐπείγε τοῦδ' ἐφάπτομαι τόπου.
Μ. Τίς εἶ; τίν' ὄψιν σήν, γύναι, προσδέρκομαι;
Ε. Σὺ δ' εἶ τίς; αὐτὸς γάρ σε κἄμ' ἔχει λόγος.
Μ. Οὐ πώποτ' εἶδον προσφερεστέραν δέμας.
Ὦ θεοί· Θεὸς γὰρ καὶ τὸ γινώσκειν φίλους.
Ἑλληνὶς εἶ τις, ἢ 'πιχωρία γυνή;
Ε. Ἑλληνίς· ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
Μ. Ἑλένῃ σ' ὁμοίαν δὴ μάλιστ' εἶδον, γύναι.
Ε. Ἐγὼ δὲ Μενελάῳ γε σ'· οὐδ' ἔχω τί φῶ.
Μ. Ἔγνως γὰρ ὀρθῶς ἄνδρα δυστυχέστατον.
Ε. Ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.
Μ. Ποίας δάμαρτος; μὴ θίγῃς ἐμῶν πέπλων.
Ε. Ἣν σοι δίδωσι Τυνδάρεως, ἐμὸς πατήρ.
Μ. Ὦ φωσφόρ' Ἑκάτη, πέμπε φάσματ' εὐμενῆ.

Ad ſepulchri crepidinem, et liba ardentia.
Mane, quare fugis? quippe, oſtendens tuum corpus,
Admirationem nobis et ſtuporem offers.
H. Vim patimur, o mulieres. Arcemur enim
A ſepulchro, ab hoc viro, et me captam vult
Dare tyrannis, quorum fugimus nuptias.
M. Non ſumus praedones, neque miniſtri malorum.
H. Atqui deformem veſtem habes circa corpus.
M. Siſte celerem pedem, omittens timorem.
H. Siſto; poſtquam attigi hunc locum.
M. Quaenam es? quam tuam ſpeciem video, mulier?
H. Tu vero quis es? Eadem enim te, et me
Dubitationis habet ratio. M. Nunquam vidi ſimiliorem
Corpore. H. O dii! nam Dei beneficium eſt etiam
Agnoſcere amicos. M. Num Graeca es, an indigena
Mulier? H. Graeca *ſum*. Sed et tuum *genus* cupio
Scire. M. Video et Helenae maxime ſimilem, o
Mulier. H. Et ego te Menelao, nec habeo quod
Dicam. M. Recte profecto agnoſcis miſerrimum
Virum. H. O ſero veniens in manus conjugis tuae!
M. Qualis conjugis? ne attingas meam veſtem.
H. Quam tibi Tyndarus pater meus dedit.
M. O Hecate lucifera, ſpectra nobis offer laeta.

H. Non Vides me nocturnam miniſtram Hecatae.
M. At certe non ſum maritus duarum conjugum.
H. Quorum vero lectorum aliorum dominus es?
M. *Illius*, quam antrum occultat, et ex Phrygibus
Adduco. H. Non alia uxor tua eſt, praeter me.
M. An vero ſana mente quidem ſum: at oculi mei
Laborant? H. An non videris videre tuam conjugem,
cum me vides?
M. Corpus *quidem eſt* ſimile, ſed certa cognitio me
Avertit. H. Conſidera: quid ſi aliquis te prudentior
Eſt? M. Similis es: hoc non poſſum negare.
H. Quis igitur alius te docebit, niſi oculi
tui?
M. Hac quidem re labamus, quia habeo aliam
Uxorem. H. Ego non veni in terram Trojanam,
Sed erat ſimulacrum. M. Quis vero poteſt facere
Corpora videntia? H. Æther, unde tu habes
Conjugem divinitus factam. M. Quo Deorum
Fingente? dicis enim inſperata. H. Junonis
Permutatio eſt, ne Paris me potiretur. M. Quomodo
Vero hic eras, et ſimul in Troja? H. Nomen poteſt
In multis locis eſſe, ſed corpus non. M. Dimitte
Me, veni ſatis habens miſeriarum. H. Relinques

Ε. Οὐ νυκτίφαντον πρόπολον ἐνοδίας μ' ὁρᾷς.
Μ. Οὐ μὴν γυναικῶν γ' εἷς δυοῖν ἔφυν πόσις.
Ε. Ποίων δὲ λέκτρων δεσπότης ἄλλων ἔφυς;
Μ. Ἣν ἄντρα κεύθει, κἀκ Φρυγῶν κομίζομαι.
Ε. Οὐκ ἔστιν ἄλλη σή τις ἀντ' ἐμοῦ γυνή.
Μ. Ἦπου φρονῶ μὲν εὖ, τὸ δ' ὄμμα μου νοσεῖ;
Ε. Οὐ γάρ, με λεύσσων, σὴν δάμαρθ' ὁρᾷν δοκεῖς;
Μ. Τὸ σῶμ' ὅμοιον, τὸ δὲ σαφές μ' ἀποστερεῖ.
Ε. Σκέψαι· τί σου δεῖ; τίς ἐστί σου σοφώτερος;
Μ. Ἔοικας· οὔτοι τοῦτό γ' ἐξαρνήσομαι.
Ε. Τίς οὖν διδάξει σ' ἄλλος, ἢ τὰ σά γ' ὄμματα;
Μ. Ἐκεῖνο, σοῦ μὲν, ὅτι δάμαρτ' ἄλλην ἔχω.
Ε. Οὐκ ἦλθον εἰς γῆν Τρῳάδ', ἀλλ' εἴδωλον ἦν.
Μ. Καὶ τίς βλέποντα σώματ' ἐξεργάζεται;
Ε. Αἰθήρ, ὅθεν σὺ θεοπόνητ' ἔχεις λέχη.
Μ. Τίνος πλάσαντος θεῶν; ἄελπτα γὰρ λέγεις.
Ε. Ἥρας διάλλαγμ', ὡς Πάρις με μὴ λάβοι.
Μ. Πῶς οὖν ἂν ἐνθάδ' ἦσθ', ἐνὶ Τροίᾳ θ' ἅμα;
Ε. Τοὔνομα γένοιτ' ἂν πολλαχοῦ, τὸ σῶμα δ' οὔ.
Μ. Μέθες με, λύπας ἅλις ἔχων ἐλήλυθα.
Ε. Λείψεις γὰρ ἡμᾶς, τὰ δὲ κέν' ἐξάξεις λέχη;

Μ. Καὶ χαῖρέ γ', Ἑλένῃ προσφερὴς ὅθ' οὕνεκ' εἶ.
Ε. Ἀπωλόμην· λαβοῦσά τ', οὐχ ἕξω πόσιν.
Μ. Τἀκεῖ με μέγεθος τῶν πόνων πείθει σὺ δ' οὔ.
Ε. Οἲ ἐγώ, τίς ἡμῶν ἐγένετ' ἀθλιωτέρα;
Οἱ φίλτατοι λείπουσιν· οὐδ' ἀφίξομαι
Ἕλληνας, οὐδὲ πατρίδα τὴν ἐμήν ποτε.
Α. Μενέλαε, μαστεύων σε κιγχάνω μόλις,
Πᾶσαν πλανηθεὶς τήνδε βαρβάρον χθόνα,
Πεμφθεὶς ἑταίρων τῶν λελειμμένων ὕπο.
Μ. Τί δ' ἐστιν; ἤ που βαρβάρων συλᾶσθ' ὕπο;
Α. Θαυμάστ', ἔλασσον τοὔνομ', ἢ τὸ πρᾶγμ', ἔχων.
Μ. Λέγ'· ὡς φέρεις τι τῇδε τῇ σπουδῇ νέον;
Α. Λέγω πόνους σε μυρίους τλῆναι μάτην.
Μ. Παλαιὰ θρηνεῖς πήματ'· ἀγγέλλεις δὲ τί;
Α. Βέβηκεν ἄλοχος σὴ πρὸς αἰθέρος πτύχας,
Ἀρθεῖσ' ἄφαντος· οὐρανῷ δὲ κρύπτεται,
Λιποῦσα σεμνὸν ἄντρον, οὗ σφ' ἐσῴζομεν,
Τοσόνδε λέξασ', ὦ ταλαίπωροι Φρύγες,
Πάντες τ' Ἀχαιοί, δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
Ἀκταῖσιν Ἥρας μηχαναῖς ἐθνήσκετε,
Δοκοῦντες Ἑλένην οὐκ ἔχοντ' ἔχειν Πάριν.
Ἐγὼ δ' ἐπειδὴ χρόνον ἔμειν', ὅσον μ' ἐχρῆν,

Igitur nos, et abduce illam inanem uxorem? M. Vale,
Quia ſimilis es Helenae. H. Perii; et inveniens maritum,
Tamen non habebo. M. Magnitudo malorum quae
Ibi perpeſſi ſumus, perſuadet me, non tu. H. Heu
Mihi, quae eſt me infelicior? chariſſimi me
Relinquunt, neque redibo *ad* Graecos, neque *in*
Patriam meam unquam. N. Menelae, quaerens te,
Vix tandem invenio, per omnem hanc terram
Barbaram errans, miſſus a ſociis relictis.
M. Quid eſt! an ſpoliati eſtis *a* barbaris?
N. Miraculum eſt, minus nomine, quam re
ferens.
M. Dic, quia adfers aliquid novi hac ſollicitudine.
N. Dico te fruſtra tot labores ſuſtinuiſſe.
M. Antiqua refers mala: quid vero *novi* nuncias?
N. Conjunx tua abiit ad volumina coeli,
Sublata ex oculis, coeloque occultatur,
Relicto venerando illo antro, ubi eam ſervabamus.
Poſtquam haec tantum dixit: o miſeri Phryges,
Et omnes Graeci, propter me ad Scamandri
Littus dolis Junonis eſtis mortui,
Putantes Paridem habere Helenam, quam non
Habuit. Ego vero poſtquam tempus manſi, quantum

Me manere oportuit, ſervans fati decretum, ad
Aërem patrem meum abeo: miſera vero filia
Tyndarei famam malam fruſtra audivit, cum eſſet
Sine culpa. O filia Ledae ſalve, hic eras igitur?
Ego vero te, tanquam abiiſſes in ſeceſſus aſtrorum,
Nunciabam ignorans, quod volatile
Corpus haberes: non patiar te exprobrare
Nos ob hoc iterum, quod fruſtra ad Ilium
Laborem praebueris tuo marito et belli ſociis,
M. Hoc eſt illud; Conveniunt verba
Vera hujus *mulieris:* o optatam diem,
Quae te in meas ulnas ſuſcipiendam dedit.
H. O chariſſime virorum Menelae, dolor quidem,
Antiquus *eſt*, voluptas vero nunc demum adeſt.

ANOMOIOSTROPHICA.

STROPHE I.

Amicae, libens recepi meum maritum,
Circumjiciens amicam manum,
In longa flamma lucifera, i. e. longum poſt tempus,
M. Et ego te: habens autem multos ſermones
Tecum ferendos, neſcio unde primum nunc incipiam.

STROPHE 2.

H. Gaudeo. Erectas vero in capite comas

Τὸ μόρσιμον σώσασα, πατέρ᾽ ἐς οὐρανὸν
Ἄπειμι· φήμας δ᾽ ἡ τάλαινα Τυνδαρὶς
Ἄλλως κακὰς ἤκουσεν, οὐδὲν αἰτία.
Ὦ χαῖρε Λήδας θύγατερ, ἐνθάδ᾽ ἦσθ᾽ ἄρα,
Ἐγὼ δέ σ᾽ ἄστρων ὡς βεβηκυῖαν μυχοὺς
Ἤγγελλον, εἰδὼς οὐδὲν, ὡς ὑπόπτερον
Δέμας φοροίης· οὐκ ἐῶ σε κερτομεῖν
Ἡμᾶς τόδ᾽ αὖθις, ὡς ἄδην ἐν Ἰλίῳ
Πόνους παρεῖχες σῷ πόσει, καὶ συμμάχοις.
Μ. Τοῦτ᾽ ἔστ᾽ ἐκεῖνο· ξυμβεβᾶσιν οἱ λόγοι
Οἱ τῆσδ᾽ ἀληθεῖς· ὦ ποθεινὸς ἡμέρα,
Ὡς εἰς ἐμὰς ἔδωκεν ὠλένας λαβεῖν.
Ε. Ὦ φίλτατ᾽ ἀνδρῶν Μενέλεως, ὁ μὲν χρόνος
Παλαιὸς, ἡ δὲ τέρψις ἀρτίως πάρα.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

ΣΤΡΟΦΗ Α'.

Ἔλαβον ἀσμένα πόσιν ἐμὸν, φίλαι,
Περιπετάσασα χέρα φίλιον
Ἐν μακρᾷ φλογὶ φαεσφόρῳ.
Μ. Κἀγώ σε· πολλοὺς δ᾽ ἐν μέσῳ λόγους ἔχων,
Οὐκ οἶδ᾽, ὁποίου πρῶτον ἄρξομαι τανῦν.

ΣΤΡΟΦΗ Β'.

Ε. Γέγηθα· κρατὶ δ᾽ ὀρθίους ἐθείρας

Ἀνεπτέρωκα, καὶ δάκρυ ςαλάσσω,
Περὶ δὲ γαῖα χεῖρας ἔβαλον,
Ἡδονὰν ὡς λάβω·
Ὦ πόσις, ὦ φιλτάτη πρόσοψις.

ΣΤΡΟΦΗ γ'.

Μ. Οὐκ ἐμέμφθην.
Ἔχω τὰ τοῦ Διὸς λέκτρα, Λήδας τε,
Ἃν ὑπὸ λαμπάδων κόροι
Λεύκιπποι, ξυνομαίμονες, ὤλβισαν, ὤλβισαν
Τοπρόσθεν· ἐκ δόμων δ' ἐνόσφισαν θεοί σ' ἐμοῦ.
Πρὸς ἄλλαν δ' ἐλαύνει θεὸς συμφορὰν τᾶσδε
κρείσσω.
Τὸ κακὸν δ' ἀγαθὸν σέ τε, κἀμὲ συνάγαγε πόσιν
Χρόνιον, ἀλλ' ὅμως ὀναίμαν τύχας.
Ε. Ὄναιο δῆτα· ταυτὰ δὴ ξυνεύχομαι·
Δυεῖν γὰρ ὄντοιν, οὐχ' ὁ μὲν τλήμων, ὁ δ' οὔ.

ΣΤΡΟΦΗ δ'.

Φίλαι, φίλαι, τὰ πάρος
Οὐκέτι ςένομεν, οὐδ' ἀλγῶ.
Πόσιν ἐμὸν ἔχομεν, ἔχομεν,
Ὃν ἔμενον, ἔμενον ἐκ Τροίας
Πολυετῆ μολεῖν.
Μ. Ἔχεις, ἐγώ τέ σ'· ἡλίους δὲ μυρίους

Tollebam, ut alas, et ſtillo lacrymas.
Circa vero *tua* membra manus jeci,
Ut voluptatem capiam:
O marite, o amantiſſimum aſpectum.

STROPHE 3.

M. Jam contentus ſum;
Habeo conjugem filiam Jovis, et Ledae,
Quam cum facibus pueri candidis inſignes equis,
Gemini fratres, bearunt, bearunt olim. Ex aedibus
Vero *meis* te Dii abſportarunt. H. Ad aliam
Vero ſortem hac meliorem Deus *nos*
ducit. Malum autem bonum
Factum, te et me conjuxit, marite, ſero: ſed
Tamen utinam *hac* fortuna fruar. M. Fruaris ſane:
Ego enim tecum idem opto. Nam cum duo ſimus,
Fieri non poteſt ut alter quidem ſit miſer, alter vero non.

STROPHE 4.

H. Amicae, amicae, priora *mala*
Non amplius gemimus, neque doleo:
Habeo, habeo meum maritum,
Quem expectabam, expectabam ex Troja
Poſt multos annos venturum.
M. Habes; et ego te: ſoles vero innumeros

Aegre peragens, intellexi Divae conſilia.

STROPHE 5.

H. Meae vero lacrymae gaudia,
Et plus habent ſuavitatis, quam triſtitiae.
Quid dicam? quis hominum haec unquam ſperaſſet?
Praeter opinionem habeo te ad pectus.
M. Et ego te, quae videbaris ad Idaeam urbem,
Et miſeras turres Ilii iviſſe. Per
Deos, quomodo *ex* meis aedibus deportata fuiſti?

STROPHE 6.

H. Heu, heu! redis ad acerbum principium: heu,
Heu! accerbam etiam narrationem quaeris. M. Dic,
Omnia deorum dona *ſunt* audienda. H. Abominor
Hunc ſermonem, qualem qualem proferam.
M. Attamen dicito. Jucundum ſane labores audiſſe.

STROPHE 7.

H. Non ad thalamum barbari adoleſcentis,
Volante *veni* remo,
Et volante Amore miſerarum nuptiarum.
M. Quis Deus, aut quod fatum ſpoliat te patria?

STROPHE 8.

H. Ille Jovis, ille Jovis filius, o marite,
Me admovit Nilo.

Μόγις διελθὼν, ἠσθόμην τὰ τῆς θεοῦ.

ΣΤΡΟΦΗ ε'.

Ἐμὰ δὲ δάκρυα, χαρμονὰ,
Πλέον ἔχει χάριτος, ἢ λύπας.
Ε. Τί φῶ; τίς ἂν τάδ' ἤλπισε βροτῶν ποτ';
Ἀδόκητον ἔχω σε πρὸς στέρνοις.
Μ. Κἀγώ σε τὴν δοκοῦσαν Ἰδαίαν πόλιν
Μολεῖν, Ἰλίου τε μελέους πύργους.
Πρὸς θεῶν, δόμων πῶς τῶν ἐμῶν ἀπεστάλης.

ΣΤΡΟΦΗ ϛ'.

Ε. Ἒ, ἔ· πικρὰς ἐς ἀρχὰς βαίνεις.
Ἒ, ἔ· πικρὰν δ' ἐρευνᾷς φάτιν.
Μ. Λέγ', ὡς ἀκουστὰ πάντα δῶρα δαιμόνων.
Ε. Ἀπέπτυσα μὲν λόγον. οἷον, οἷον, ἐσοίσομαι.
Μ. Ὅμως δὲ λέξον· ἡδύ τοι μόχθων κλύειν.

ΣΤΡΟΦΗ ζ'.

Ε. Οὐκ ἐπὶ λέκτρον βαρβάρου νεανία,
Πετομένας κώπας,
Πετομένου δ' ἔρωτος ἀδίκων γάμων.
Μ. Τίς σε δαίμων, ἢ πότμος, συλᾷ πάτρας;

ΣΤΡΟΦΗ η'.

Ε. Ὁ Διὸς, ὁ Διὸς, ὦ πόσι, παῖς
Μ' ἐπέλασε Νείλῳ.

Μ. Θαυμαςὰ τοῦ πέμψαντος· ὦ δεινοὶ λόγοι.

ΣΤΡΟΦΗ Θ'.

Ε. Κατεδάκρυσα, καὶ βλέφαρον ὑγραίνω
Δάκρυσιν· ἁ Διός μ' ἄλοχος ὤλεσεν
Ἥρα. Μ. Τίνων χρήζουσα προσθεῖναι κακῶν;

ΣΤΡΟΦΗ Ι'.

Ε. Ὤ μοι ἐμῶν δεινῶν, λουτρῶν, καὶ κρηνῶν,
Ἵνα θεαὶ μορφὰν ἐφαίδρυναν·
Ἔνθεν ἔμολε κρίσις.
Μ. Τάδ' εἰς κρίσιν σοι τῶνδ' Ἥρα κακῶν;

ΣΤΡΟΦΗ ΙΑ'.

Ε. Κύπρις ὡς ἀφέλοιτο. Μ. Πῶς; αὔδα.
Ε. Πάριν, ᾧ μ' ἐπένευσ'. Μ. Ὦ τλῆμον.
Ε. Τλάμων, τλάμων· ὧδ' ἐπέλασ' Αἰγύπτῳ.
Μ. Εἶτ' ἀντέδωκ' εἴδωλον, ὡς σέθεν κλύω.

ΣΤΡΟΦΗ ΙΒ'.

Ε. Τὰ δὲ κατὰ μέλαθρα πάθεα, πάθεα.
Μᾶτερ, οἲ ἐγώ. Μ. Τί φής;
Ε. Οὐκ ἔςι μάτηρ· ἀγχόνειον δὲ βρόχον
Δι' ἐμὲ κατεδήσατο δύσγαμον αἰσχύναν.
Μ. Ὤ μοι. θυγατρὸς δ' Ἑρμιόνης ἐςὶ βίος;

ΣΤΡΟΦΗ ΙΓ'.

Ε. Ἄγαμος, ἄτεκνος, ὦ πόσι, καταςένει

M. Miranda ob deductorem. O miros ſermones!

STROPHE 9.

H. Lacrymo, et palpebras humecto
Lacrymis; conjunx *enim* Jovis me perdidit
Juno. M. Cui o malo volens addicere?

STROPHE 10.

H. Hei mea mala, lavacra, et fontes illos,
Ubi Deae formam ornarunt,
Unde Judicium venit. M. Ecquid
Juno horum malorum tibi ob illud judicium fecit?

STROPHE 11.

H. Ut me auferret. M. Quomodo? dic.
H. *Paridi*, cui me promiſerat *Venus*. M. O miſera.
H. Miſera, miſera! ſic in Aegyptum admovit.
M. Deinde dedit pro te ſimulachrum, ut ex te audio.

STROPHE 12.

H. Quae in aedibus vero calamitates, calamitates!
Mater, hei mihi! M. Quid ais? H. Non eſt
Amplius mater: ſtrangulantem enim laqueum
Aligavit propter mei nuptiarum infelicium
Turpitudinem. M. Hei mihi. Vivitne filia Hermione?

STROPHE 13.

H. Sine nuptiis, ſine liberis, o marite, gemit

Infelices nuptias meas et dedecus.

M. O Paris, qui totam domum meam funditus
evertiſti ;

Haec etiam te perdiderunt, et multa millia

Aereis-armis-inſtructorum Graecorum.

STROPHE 14.

H. Me verò a patria infelicem

Execrabilem Deus abegit

Ab urbe, et a te :

Quod domum, et conjugium reliquerim,

Non relinquens, propter turpes nuptias.

IAMBI.

C. Si *in* reliquis etiam *rebus poſthac* proſperam
Fortunam conſequamini; *hoc* ad priora *mala*
Compenſanda ſufficiet. N. Menelae, impertiatis et mihi
Aliquid voluptatis, quam audio quidem et ego : ſed
Tamen plane *quaenam ſit*, non ſcio. M. O ſenex, tu
Quoque particeps ſis *noſtrorum* ſermonum N. Nonne
Haec laborum ad Ilium *fuit autor?* M. Non eſt haec.
Decepti ſumus a Diis, habentes in manibus triſtem
Imaginem nubis. N. Quid ais?
Suſtinuimus igitur labores fruſtra propter nubem?
M. Haec *ſunt* opera Junonis, et contentio trium

Γάμον ἄγαμον, αἰσχύνας.
Μ. Ὦ, πᾶν κατ' ἄκρας δῶμ' ἐμὸν πέρσας
  Πάρις,
Τάδε καὶ σὲ διώλεσε, μυριάδας τε
Χαλκεόπλων Δαναῶν.

ΣΤΡΟΦΗ ΙΑ'.

Ε. Ἐμὲ δὲ πατρίδος ἄπο, κακόποτμον
Ἀραίαν ἔβαλλε θεὸς
Ἀπὸ πόλεος, ἀπό τε σέθεν,
Ὅτι μέλαθρα, λέχεά τ' ἔλιπον,
Οὐ λιποῦσ' ἐπ' αἰσχροῖς γάμοις.

ΙΑΜΒΟΙ.

Χ. Εἰ καὶ τὰ λοιπὰ τῆς τύχης εὐδαίμονος
Τύχοιτε· πρὸς τὰ πρόσθεν ἀρκέσειεν ἄν.
Α. Μενέλεως, κἀμοὶ πρόσδοτέ τι τῆς ἡδονῆς,
Ἣν μανθάνω μὲν καὐτὸς, οὐ σαφῶς δ' ἔχω.
Μ. Ἀλλ', ὦ γεραιὲ, καὶ σὺ κοινώνει λόγων.
Α. Οὐχ ἥδε μόχθων τῶν ἐν Ἰλίῳ βραβεύς;
Μ. Οὐχ ἥδε· πρὸς θεῶν ἦμεν ἠπατημένοι,
Νεφέλης ἄγαλμ' ἔχοντες ἐν χεροῖν λυγρόν.
Α. Τί φής·
Νεφέλης ἄρ' ἄλλως εἴχομεν πόνους πέρι;
Μ. Ἥρας τάδ' ἔργα, καὶ θεῶν τρισσῶν ἔρις.

Α. Ἡ δ' οὖσ', ἀληθῶς ἐστὶν ἥδε σὴ δάμαρ;
Μ. Αὕτη· λόγοις δ' ἐμοῖσι πίστευσον τάδε.
Α. Ὦ θύγατερ, ὁ θεὸς ὡς ἔφυ τί ποικίλον,
Καὶ δυστέκμαρτον· εὖ δέ πως ἀναστρέφει,
Ἐκεῖσε κἀκεῖσ' ἀναφέρων· ὁ μὲν πονεῖ,
Ὁ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
Βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων.
Σὺ γὰρ, πόσις τε σὸς, πόνων μετέσχετε,
Σὺ μὲν λόγοισιν, ὁ δὲ δορὸς προθυμίᾳ.
Σπεύδων δ', ὅτ' ἔσπευδ', οὐδὲν εἶχε· νῦν δ' ἔχει,
Αὐτόματα πράξας τἀγάθ' εὐτυχέστατα.
Οὐκ ἄρα γέροντα πατέρα, καὶ Διοσκόρω
Ἤσχυνας. οὐδ' ἔδρασας, οἷα κλῄζεται.
Νῦν ἀνανεοῦμαι τὸν σὸν ὑμέναιον πάλιν,
Καὶ λαμπάδων μεμνήμεθ', ἃς τετραόροις
Ἵπποις τροχάζων παρέφερον· σὺ δ' ἐν δίφροις,
Σὺν τῷδε νύμφη δῶμ' ἔλειπες ὄλβιον.
Κακὸς γὰρ, ὅστις μὴ σέβει τὰ δεσποτῶν,
Καὶ ξυγγέγηθε, καὶ ξυνωδίνει κακοῖς.
Ἐγὼ μὲν εἴην, καὶ πέφυχ' ὅμως λάτρις,
Ἐν τοῖσι γενναίοισιν ἠριθμημένος
Δούλοισι, τοὔνομ' οὐκ ἔχων ἐλεύθερον,
Τὸν νοῦν δέ· κρεῖσσον γὰρ τοῦδ', ἢ δυοῖν κακοῖν

Deorum. N. Haec vero, quae vere *mulier* eſt, eſtne
Tua conjux? M. Haec: verbis hoc meis crede.
N. O filia, quam varia quaedam res eſt Deus,
Et conjectu difficilis, facile enim mutat,
Huc et Illuc verſans. *Nam* hic quidem laborat;
Contra vero ille qui non laboravit, perit male,
Nihil habens firmi continuae fortunae,
Tu enim et maritus tuus labores ſuſtinuiſtis
Tu quidem rumoribus, ille vero pugnandi alacritate,
Laborans enim, quamdiu laborabat, nihil profecit.
Nunc vero proficit, ultro habens objectum maxime;
Proſperam fortunam. Non igitur patrem ſenem,
Et Jovis filios dedecoraſti, neque feciſti qualia
Dicuntur. Nunc renovo tuas nuptias iterum,
Et memini facum, quas quadrijugis
Equis currens praeferebam: tu vero in curru
Cum hoc ſponſa, relinquebas foelicem domum.
Improbus enim *eſt*, qui non *res* dominorum diligit,
Nec congratulatur, nec adverſis condolet.
Ego quidem ſim, et natus ſum tamen ſervus,
Numeratus inter generoſos
Servos, non habens nomen liberum,
Sed mentem: hoc enim melius *eſt*, quam duo mala

Unum habere, et malo animo praeditum eſſe,
Et aliis ſervum parere.
M. Age, o ſenex, multos enim ad clypeum
Labores explevisti meum.
Et nunc particeps meae felicitatis factus
Vade, et nuncia meis ſociis, qui adhuc vivunt,
Haec, quomodo ſe habentia inveneris, et qua
Fortuna utamur, utque maneant ad littus et expectent
Mea certamina, quae *nos* manent, ut ſperamus:
Et, donec poſſimus enavigare *ex* hac terra, ut
Indigenas, Cuſtodiant: ut, eadem utentes fortuna,
A barbaris incolumes diſcedamus, ſi poſſimus.
N. Fient haec, o Rex: ſed vatum *vaticinia*
Video quam inepta ſint, et plena mendaciorum.
Nihil igitur ſani eſt in ignis flamma,
Neque in vocibus avium: ſtultitia vero eſt
Vel opinari mortales ab avibus juvari. Calchas
Enim non dixit, neque ſignificavit exercitui,
Videns amicos morientes pro nube,
Nihil unquam: ſed urbs fruſtra direpta eſt.
Sed fortaſſe dixeris, quod Deus non voluerit *haec*
Indicari. Quid ergo vates conſulimus? Diis oportet
Sacrificantes bona petere, et ſinere vaticinia.

Ἕν' ὄντα χρῆσθαι, τὰς φρένας τ' ἔχειν κακὰς,
Ἄλλων τ' ἀκούειν, δοῦλον ὄντα τῶν πέλας.
Μ. Ἄγ', ὦ γεραιὲ, πολλὰ μὲν παρ' ἀσπίδα
Μοχθήματ' ἐξέπλησας ἐκπονῶν ἐμὴν,
Καὶ νῦν, μετασχὼν τῆς ἐμῆς εὐπραξίας,
Ἄγγειλον ἐλθὼν τοῖς λελειμμένοις φίλοις
Τάδ', ὡς ἔχονθ' εὕρηκας, οἷ τ' ἐσμὲν τύχης,
Μένειν τ' ἐπ' ἀκταῖς, τούς τ' ἐμοὺς καραδοκεῖν
Ἀγῶνας, οἳ μένουσιν, οὓς ἐλπίζομεν,
Καὶ τῆσδε πῶς δυναίμεθ' ἐκπλεῦσαι χθονὸς
Φρουρεῖν· ὅπως ἂν, εἰς ἓν ἐλθόντες τύχης,
Ἐκ βαρβάρων σωθῶμεν, ἢν δυνώμεθα.
Α. Ἔσαι τάδ', ὦ 'ναξ· ἀλλά τοι τὰ μάντεων
Ἐσεῖδον, ὡς φαῦλ' ἐσὶ, καὶ ψευδῶν πλέα·
Οὐδ' ἦν ἄρ' ὑγιὲς οὐδὲν ἐμπύρου φλογὸς,
Οὔτε πτερωτῶν φθέγματ'· εὔηθες δέ τοι
Τὸ καὶ δοκεῖν ὄρνιθας ὠφελεῖν βροτούς.
Κάλχας γὰρ οὐκ εἶπ', οὐδ' ἐσήμηνε, σρατῷ,
Νεφέλης ὑπερθνήσκοντας εἰσορῶν φίλους·
Οὐδέν γε· ἀλλὰ πόλις ἀνηρπάσθη μάτην.
Εἴποις ἂν, οὕνεχ' ὁ θεὸς οὐκ ἠβούλετο;]
Τί δῆτα μαντευόμεσθα; τοῖς θεοῖσι χρὴ
Θύοντας αἰτεῖν ἀγαθὰ, μαντείας δ' ἐᾷν.

Βίου γὰρ ἄλλως δέλεαρ εὑρέθη τόδε,
Κοὐδεὶς ἐπλούτησ' ἐμπύροισιν, ἀργὸς ὤν.
Γνώμη δ' ἀρίστη μάντις, ἥ τ' εὐβουλία.
Χ. Εἰς ταυτὸ κἀμοὶ δόξα μαντέων πέρι
Χωρεῖ γέροντι· τοὺς θεοὺς ἔχων τὶς ἂν
Φίλους, ἀρίστην μαντικὴν ἔχοι δόμοις.
Ε. Εἶεν· τὰ μὲν δὴ δεῦρ' ἀεὶ καλῶς ἔχει.
Ὅπως δ' ἐσώθης, ὦ τάλας, Τροίας ἄπο,
Κέρδος μὲν οὐδὲν εἰδέναι, πόθος δέ τις
Τὰ τῶν φίλων φίλοισιν αἰσθέσθαι κακά.
Μ. Ἦ πόλλ' ἀνήρου μ' ἐν ὀλίγῳ, μιᾷ θ' ὁδῷ.
Τί σοι λέγοιμ' ἂν τὰς ἐν Αἰγαίῳ φθορὰς,
Τὰ Ναυπλίου τ' Εὐβοϊκὰ πυρπολήματα,
Κρήτην τε, Λιβύην θ', ἃς ἐπεστράφην πόλεις,
Σκοπιάς τε Περσέως· οὐ γὰρ ἐμπλήσαιμί σε
Μύθων· λέγων τ' ἄν σοι κάκ', ἀλγοίην ἔτι·
Πάσχων τ' ἔκαμνον· δὶς δὲ λυπηθεῖμεν ἄν.
Ε. Κάλλιον εἶπας, ἤ σ' ἀνηρόμην ἐγώ.
Ἓν δ' εἰπὲ, πάντα παραλιπὼν, πόσον χρόνον
Πόντου 'πὶ νώτοις ἅλιον ἐφθείρου πλάνον.
Μ. Ἐνιαύσιον, πρὸς τοῖσιν ἐν Τροίᾳ δέκα
Ἔτεσι· διῆλθον δ' ἑπτὰ περιδρομὰς ἐτῶν.
Ε. Φεῦ, φεῦ· μακρόν γ' ἔλεξας, ὦ τάλας, χρόνον·

Haec enim illecebra vitae fruſtra eſt inventa;
Et nemo factus eſt dives vaticiniis ſine labore:
Prudentia enim bonumque conſilium *eſt* vates optimus.
C. Ego quoque idem ſentio de vatibus,
Quod ſenex. Qui deos habet
Amicos, is habet optimam divinationem domi.
H. Eſto. *Res* ſane huc uſque recte ſe habent.
Sed quomodo ſalvus a Troja veneris, o miſer,
Nihil quidem lucri *eſt* ſcire, deſiderium tamen
Quoddam amicis *ineſt* cognoſcendi amicorum mala.
M. Certe multa me uno ſermone et una via
Iuterrogaſti. Quid dicam tibi calamitates in Aegaeo?
Et Eubocias faces Nauplii,
Et Cretam, et Libyam, *et* ad quas terras appuli,
Et ſpeculas Perſei? non enim explerem te
Verbis *meis*, et ego, dicens tibi *mea* mala, amplius
Dolerem: dolui etiam patiens: duplici autem moerore
Afficeremur. H. Pulchrius dixiſti, quam ego te
Interrogavi. Unum vero dic omiſſis caeteris omnibus,
Quamdiu maris ſupra dorſum marina erratione
Conflictatus es? M. In navibus ſupra decem annos,
Quos fuimus ad Trojam, tranſegi ſeptem orbes
Annorum. H. Heu, heu, longum certe tempus

Dixiſti, o miſer. Servatus autem illinc, huc veniſti ad
Necem. M. Quomodo ais? quid dicis? ut me
Perdidiſti, mulier. H. Fuge quam celerrime diſcedens
Ex hac terra. Interficieris a viro, cujus haec domus
Eſt. M. Quam rem cum *tali* malo dignam feci?
H. Venis praeter ipſius votum, et impedimento *es*
Meis nuptiis. M. An igitur vult aliquis ducere meam
Uxorem? H. Et contumelia me afficere, quam ego
Suſtinui. M. An aliquis privatim potens, an vero
Dominus terrae? H. Filius Protei, qui imperat huic
Terrae. M. Hoc eſt illud aenigma, quod audivi ex
Miniſtra. H. Ad quam aſtans portam barbaricam?
M. Ad iſtam, unde tanquam mendicus ſum repulſus.
H. Num petebas victum? o me miſeram! M. Haec
Quidem res erat: hoc vero nomen non uſurpavi.
H. Ergo noſti omnia, ut videris, de meis nuptiis.
M. Novi, an vero hunc thalamum effugeris, neſcio.
H. Intactum lectum ſcias tibi ſervatum *a me*.
M. Quaenam hujus *rei* fides? grata enim, ſi certa dicis.
H. Vides miſeram meam ſedem ad hoc ſepulchrum?
M. Video, miſeros humi toros, cum quibus quid *rei*
Tibi eſt? H. Hic lectorum effugia ſuppliciter
Petivimus. M. Utrum agens ara, an more barbarico?

Σωθεὶς δ' ἐκεῖθεν, ἐνθάδ' ἦλθες εἰς σφαγάς.
Μ. Πῶς φῄς; τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.
Ε. Φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός·
Θανῇ πρὸς ἀνδρὸς, οὗ τάδ' ἐστὶ δώματα.
Μ. Τί χρῆμα δράσας ἄξιον τῆς συμφορᾶς;
Ε. Ἥκεις ἄελπτος, ἐμποδών τ' ἐμοῖς γάμοις.
Μ. Ἦ γὰρ γαμεῖν τὶς τἄμ' ἐβουλήθη λέχη;
Ε. Ὕβριν θ' ὑβρίζειν εἰς ἔμ', ἣν ἔτλην ἐγώ.
Μ. Ἰδίᾳ σθένων τις, ἢ τυραννεύων χθονός;
Ε. Ὃς γῆς ἀνάσσει τῆσδε Πρωτέως γόνος.
Μ. Τόδ' ἐστ' ἐκεῖν' αἴνιγμ', ὃ προσπόλου κλύω.
Ε. Ποίοις ἐπιστὰς βαρβάροις πυλώμασιν;
Μ. Τοῖσδ', ἔνθεν, ὥσπερ πτωχὸς, ἐξηλαυνόμην.
Ε. Ἦπου προσῄτεις βίοτον; ὦ τάλαιν' ἐγώ.
Μ. Τοὔργον μὲν ἦν τοῦτ', ὄνομα δ' οὐκ εἶχον τόδε.
Ε. Πάντ' οἶσθ' ἄρ', ὡς ἔοικας, ἀμφ' ἐμῶν γάμων.
Μ. Οἶδ'· εἰ δὲ λέκτρα διέφυγες τάδ', οὐκ ἔχω.
Ε. Ἄθικτον εὐνήν ἴσθι σοι σεσωσμένην.
Μ. Τίς τοῦδε πειθώ; φίλα γὰρ, εἰ σαφῆ λέγεις.
Ε. Ὁρᾷς τάφου τοῦδ' ἀθλίους ἕδρας ἐμάς;
Μ. Ὁρῶ, τάλαινα, στιβάδας, ὧν τί σοι μέτα;
Ε. Ἐνταῦθα λέκτρων ἱκετεύομεν φυγάς.
Μ. Βωμοῦ σπανίζουσ', ἢ νόμοισι βαρβάροις;

Ε. Ἐῤῥύεθ' ἡμᾶς τοῦτ' ἴσον ναοῖς θεῶν.
Μ. Οὐδ' ἆρα πρὸς οἴκους ναυστολεῖν ἔξεστί μοι;
Ε. Ξίφος μένει σε μᾶλλον, ἢ τοὐμὸν λέχος·
Μ. Οὕτως ἂν εἴην ἀθλιώτατος βροτῶν.
Ε. Μή νυν καταιδοῦ· φεῦγε δ' ἐκ τῆσδε χθονός.
Μ. Λιπών σε; Τροίαν ἐξέπερσα σὴν χάριν.
Ε. Κρεῖσσον γάρ, ἤ σε τἄμ' ἀποκλεῖναι λέχη.
Μ. Ἄνανδρ' ἄρ' εἶπας, Ἰλίου τ' οὐκ ἄξια.
Ε. Οὐκ ἂν κτάνῃς τύραννον, ὃν σπεύδεις ἴσως.
Μ. Οὕτω σιδήρῳ τρωτὸν οὐκ ἔχει δέμας;
Ε. Εἴσῃ· τὸ τολμᾶν δ' ἀδύνατ', ἀνδρὸς οὐ σοφοῦ.
Μ. Σιγῇ παράσχω δῆτ' ἐμὰς δῆσαι χέρας;
Ε. Εἰς ἄπορον ἥκεις· δεῖ δὲ μηχανῆς τινος.
Μ. Δρῶντας γάρ, ἢ μὴ δρῶντας, ἥδιον θανεῖν;
Ε. Μί' ἐστιν ἐλπίς, ᾗ μόνῃ σωθεῖμεν ἄν.
Μ. Ὠνητός, ἢ τολμητός, ἢ λόγων ὕπο;
Ε. Εἰ μὴ τύραννος ἐκπύθοιτ' ἀφιγμένον.
Μ. Ἐρεῖ δὲ τίς μ'; οὐ γνώσεταί γ', ὃς εἴμ' ἐγώ;
Ε. Ἔστ' ἔνδον αὐτῷ ξύμμαχος θεοῖς ἴση.
Μ. Φήμη τις οἴκων ἐν μυχοῖς ἱδρυμένη;
Ε. Οὐκ, ἀλλ' ἀδελφή· Θεονόην καλοῦσί νιν.
Μ. Χρηστήριον μὲν τοὔνομ'· ὅ, τι δὲ δρᾷ, φράσον.

H. Hoc tuetur nos aeque ac templa deorum.
M. Ergo non licebit mihi domum te deferre.
H. Enſis manet te potius, quam meus lectus.
M. Sic eſſem miſerrimus mortalium.
H. Ne nunc te pudeat; ſed fuge ex hac terra.
M. Relictane te? propter te expugnavi Trojam.
H. Melius enim *eſt*, quam ut te meum connubium
Perdat. M. Ignava dixiſti ſane, Ilioque non digna.
H. Non potes interficere regem, quem fortaſſe cupis.
M. Itane corpus habet invulnerabile ferro?
H. Scies: audere autem quod eſt impoſſibile, non *eſt*
Sapientis viri. M. An igitur tacens *ipſi* meas manus
Ligandas praebebo? H. Ad inopiam conſilii redactus
es. Opus autem eſt arte aliqua. M. Eſt enim
Jucundius, mori facientes aliquid, quam non facientes.
H. Una ſpes reliqua eſt, qua ſola ſervari poſſumus.
M. An emendo, aut audendo, vel perſuadendo?
H. Si rex non audiat te *huc* veniſſe.
M Quis vero me prodet? neſciet utique, qui ego ſiem.
H. Eſt intus apud eum adjutrix quaedam ſimilis diis.
M. An aliqua Vox habitans in penetralibus aedium?
H. Non: ſed ſoror: Theonoen ipſam vocant.
M. Nomen quidem *eſt* fatidicum; ſed dic quid

Faciat ? H. Omnia novit, et dicet fratri *ſuo* te adeſſe.
M. Moriemur : nam fieri non poteſt ut ego lateam.
H. Si quo modo poſſemus *eam* perſuadere ſupplicantes
Ei. M. Quam rem ut faciat ? in quam ſpem me
Adducis ? H. Ne dicat fratri te adeſſe in hac
terra. M. Si vero perſuaſerimus,
An ex terra hac pedem efferre poterimus ?
H. Socia *nobis* illa facile, clam naquaquam.
M. Tuam *eſt hoc* munus, quia mulier conveniens *eſt*
Mulieri. H. Non habebit genua intacta a meis
Manibus. M. Age: ſed ſi noſtram orationem non
Receperit ? H. Morieris, et ego miſera per vim illi
Nubam. M. Proditrix es : vim nempe praetexis.
H. At juro ſanctum jusjurandum per tuum caput.
M. Quid ais ? te morituram eſſe, et non mutaturam
Connubium ? H. Eodem gladio, et jacebo juxta te.
M. Tange meam dextram ad haec nunc confirmanda.
H. Attingo *jurans*, te mortuo, me relicturam hanc
Lucem. M. Et ego orbatus te, vitam finiturum.
H. Quomodo autem moriemur, ut gloriam
Conſequamur? M. Sepulcri ſupra dorſum te caeſa,
Me caedam. Sed prius decertabimus magno certamine
Pro tuo lecto; qui vero vult, prope accedat:

Ε. Πάντ' οἶδ', ἐρεῖ τε συγγόνῳ παρόντα σε.
Μ. Θνήσκοιμεν ἄν· λαθεῖν γὰρ ἐχ οἷόν τέ μοι.
Ε. Εἴ πως ἂν ἀναπείσαιμεν ἱκετευοντέ νιν.
Μ. Τί χρῆμα δρᾶσαι; τίν' ὑπάξεις μ' εἰς ἐλπίδα;
Ε. Παρόντα γαίᾳ μὴ φράσαι σε συγγόνῳ.
Μ. Πείσαντε δ', ἐκ γῆς διορίσαιμεν ἂν πόδα;
Ε. Κοινῇ τ' ἐκείνῃ ῥᾳδίως, λάθρ' ὐδαμοῦ.
Μ. Σὸν ἔργον, ὡς γυναικὶ πρόσφορον γυνή.
Ε. Ὡς ἐκ ἄχρωςα γόνατ' ἐμῶν ἕξει χερῶν.
Μ. Φέρ', ἢν δὲ δὴ νῷν μὴ 'ποδέξηται λόγυς;
Ε. Θανῇ· γαμοῦμαι δ' ἡ τάλαιν' ἐγὼ βίᾳ.
Μ. Προδότις ἂν εἴης· τὴν δὲ βίαν σκήψασ' ἔχεις.
Ε. Ἀλλ' ἁγνὸν ὅρκον σὸν κάρα κατώμοσα.
Μ. Τί φής; θανεῖσθαι, κοὔποτ' ἀλλάξειν λέχη;
Ε. Ταυτῷ ξίφει γε· κείσομαι δέ σῦ πέλας.
Μ. Ἐπὶ τοῖσδε τοίνυν δεξιᾶς ἐμᾶς θίγε.
Ε. Ψαύω, θανόντος σῦ, τόδ' ἐκλείψειν φάος.
Μ. Κἀγὼ, ςερηθείς σῦ, τελευτήσω βίον.
Ε. Πῶς οὖν θανύμεθ', ὥςε καὶ δόξαν λαβεῖν;
Μ. Τύμβυ 'πὶ νώτῳ σε κτανὼν, ἐμὲ κτανεῖ.
Πρῶτον δ' ἀγῶνα μέγαν ἀγωνιύμεθα
Λέκτρων ὑπὲρ σῶν· ὁ δὲ θέλων, ἴτω πέλας.

Τὸ Τρωϊκὸν γὰρ οὐ καταισχυνῶ κλέος.
Οὐδ᾽, Ἑλλάδ᾽ ἐλθὼν, λήψομαι πολὺν ψόγον·
Ὅστις Θέτιν μὲν ἐστέρησ᾽ Ἀχιλλέως,
Τελαμωνίου δ᾽ Αἴαντος εἰσεῖδον σφαγὰς,
Τὸν Θησέως τε παῖδα· διὰ δὲ τὴν ἐμὴν
Οὐκ ἀξιώσω κατθανεῖν δάμαρτ᾽ ἐγώ;
Μάλιστά γ᾽· εἰ γάρ εἰσιν οἱ θεοὶ σοφοὶ,
Εὔψυχον ἄνδρα, πολεμίων θανόνθ᾽ ὕπο,
Κούφῃ καταμπίσχουσιν ἐν τύμβῳ χθονὶ,
Κακοὺς δ᾽ ὑφ᾽ ἕρμα στερεὸν ἐκβάλλουσι γῆς.
Ὦ θεοὶ, γενέσθω δή ποτ᾽ εὐτυχὲς γένος
Τὸ Ταντάλειον, καὶ μεταστήτω κακῶν.
Ε. Οἲ ἐγὼ τάλαινα· τῆς τύχης γὰρ ὧδ᾽ ἔχω.
Μενέλαε, διαπεπράγμεθ᾽, ἐκβαίνει δόμων
Ἡ θεσπιῳδὸς Θεονόη· κτυπεῖ δόμος,
Κλήθρων λυθέντων· φεῦγ᾽· ἀτὰρ τί φευκτέον;
Ἀποῦσα γάρ σε, καὶ παροῦσ᾽, ἀφιγμένον
Δεῦρ᾽ οἶδεν· ὦ δύστηνος, ὡς ἀπωλόμην.
Τροίας δὲ σωθεὶς, κἀπὸ βαρβάρου χθονὸς,
Εἰς βάρβαρ᾽ ἐλθὼν φάσγαν᾽ αὖθις ἐμπεσῇ.
Θ. Ἡγοῦ σύ μοι φέρουσα λαμπτήρων σέλας,
Θεῖον δὲ σεμνοῦ θεσμὸν αἰθέρος μυχῶν,
Ὡς πνεῦμα καθαρὸν οὐρανοῦ δεξαίμεθα.

Trojanam enim gloriam non dedecorabo, nec in
Graeciam reverſus, multam vituperationem audiam,
Qui Thetidem quidem privavi Achille,
Ajacis vero Telamonii caedem aſpexi,
Et Neleo ſatum filio. Propter meam vero
Conjugem ego non auſim mori?
Maxime: nam ſi ſunt Dii ſapientes,
Virum fortem interfectum ab inimicis
Circumtegunt levi terra in ſepulcro:
In ignavos vero ſolidum aggerem terrae injiciunt.
O Dii, fiat tandem aliquando fortunatum genus
Tantaleum, et liberetur a malis.
H. Heu me miſeram, ſic enim ſe habet mea fortuna,
Menelae, actum eſt de nobis: egreditur ex aedibus
Fatidica Theonoe: domus crepat,
Solutis repagulis: fuge. Sed quid fugiendum?
Abſens enim, et praeſens te veniſſe
Huc novit: o infelix, ut perii.
Servatus a Troja et barbarica terra
Veniens, in barbaricos gladios rurſus incides.
T. Praei tu mihi, ferens facum ſplendens lumen,
Sanctumque celebra ritum ſinuum aetheris,
Ut ſpiritum purum coelo accipiamus.

Tu vero viam, ſi quis *eam* laeſit pede
Calcans impio, da luſtrali flammae;
Concutiaſque Piceam facem ante me, ut tranſeam.
Rituque meo Diis peracto, iterum
Larariam flammam in aedes portate.
Helena, quid? quomodo ſe habent mea vaticinia?
Venit tuus maritus Menelaus, hic conſpicuus,
Orbatus navibus, et tuo ſimulacro.
O miſer, quibus laboribus vitatis, *huc* veniſti,
Neque ſcis utrum ſis domum reverſurus, an vero
Hic manſurus. Contentio enim inter Deos,
Conciliumque de te ſtat convocatum hodie apud
Jovem. Juno quidem, quae tibi hactenus inimica
Fuit, nunc eſt benevola, et vult te ſalvum ducere in
Patriam cum iſta, ut Graecia nuptias Alexandri
Falſas cognoſcat, donum Veneris.
Venus vero vult impedire tuum reditum,
Ne coarguatur, neque videatur emiſſe
Formae *palmam*, Helenae cauſa, inani connubio.
Summa vero *rei* penes me; ſive, quod cupit Venus,
Perdam, te dicens fratri, quod hic ſis:
Sive contra, cum Junone ſtans, ſervam vitam,
Celans fratrem illud, qui me juſſit hoc

Σὺ δ' αὖ κέλευθον, εἴ τις ἔβλαψεν ποδὶ
Στείβων ἀνοσίῳ, δὸς καθαρσίῳ φλογί.
Κροῦσον δὲ πεύκην, ἵνα διεξέλθω, πυρός.
Νόμον δὲ τὸν ἐμὸν θεοῖσιν ἀποδοῦσαι, πάλιν
Ἐφέστιον φλόγ' εἰς δόμους κομίζετε.
Ἑλένη τί, τἀμὰ πῶς ἔχει θεσπίσματα;
Ἥκει πόσις σοι Μενέλεως ὅδ' ἐμφανής,
Νεῶν στερηθεὶς, τοῦτε σοῦ μιμήματος.
Ὦ τλῆμον, οἵους διαφυγὼν ἦλθες πόνους,
Οὐδ' οἶσθα νόστον οἴκαδ', εἴτ' αὐτοῦ μενεῖς.
Ἔρις γὰρ ἐν θεοῖς, σύλλογός τε σοῦ πέρι
Ἔσται πάρεδρος Ζηνὶ τῷδ' ἐν ἤματι.
Ἥρα μὲν, ἥ σοι δυσμενὴς πάροιθεν ἦν,
Νῦν ἐστὶν εὔνους, κεἰς πάτραν σῶσαι θέλει
Ξὺν τῇδ', ἵν' Ἑλλὰς τοὺς Ἀλεξάνδρου γάμους,
Δώρημα Κύπριδος, ψευδονυμφεύτους μάθῃ.
Κύπρις δὲ νόστον σὸν διαφθεῖραι θέλει,
Ὡς μήτ' ἐλεγχθῇ, μηδὲ πριαμένη φανῇ
Τὸ κάλλος, Ἑλένης οὕνεκ', ὠνητοῖς γάμοις.
Τέλος δ' ἐφ' ἡμῖν, εἴθ', ἃ βούλεται Κύπρις,
Λέξασ' ἀδελφῷ γ' ἐνθάδ' ὄντα, διολέσω,
Εἴτ' αὖ, μεθ' Ἥρας στᾶσα, σὸν σώσω βίον,
Κρύψασ' ὁμαίμον', ὅς με προστάσσει τάδε

Εἰπεῖν, ὅταν γῆν τήνδε νοστήσας τύχῃ.
Τίς εἶς; ἀδελφῷ τόνδε σημανῶ γ' ἐμῷ
Παρόνθ', ὅπως ἂν τοὐμὸν ἀσφαλῶς ἔχῃ.
Ε. Ὦ παρθέν', ἱκέτις ἀμφὶ σὸν πιτνῶ γόνυ,
Καὶ προσκαθίζω θᾶκον οὐκ εὐδαίμονα,
Ὑπέρ τ' ἐμαυτῆς, τοῦδε θ', ὃν μόλις ποτὲ
Λαβοῦσ', ἐπ' ἀκμῆς εἰμὶ κατθανόντ' ἰδεῖν.
Μή μου κατείπῃς σῷ κασιγνήτῳ πόσιν
Τόνδ' εἰς ἐμὰς ἥκοντα φιλτάτας χέρας·
Σῶσον δὲ, λίσσομαί σε· συγγόνῳ δὲ σῷ
Τὴν εὐσέβειαν μὴ προδῷς τὴν σήν ποτε,
Χάριτας πονηρὰς, κἀδίκους, ὠνουμένη.
Μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν· τὰ κτητὰ δὲ
Κτᾶσθαι κελεύει πάντας, οὐκ ἐς ἁρπαγάς.
Ἐατέος δ' ὁ πλοῦτος, ἄδικός τις ὤν.
Κοινὸς γάρ ἐστιν οὐρανὸς πᾶσι βροτοῖς,
Καὶ γαῖ', ἐν ᾗ χρὴ δώματ' ἀναπληρουμένους,
Τἀλλότρια μὴ 'χειν, μήδ' ἀφαιρεῖσθαι βίᾳ.
Ἡμᾶς δὲ μακαρίως μὲν, ἀθλίως δ' ἐμοὶ,
Ἑρμῆς ἔδωκε πατρὶ σῷ σώζειν πόσει
Τῷδ', ὃς πάρεστι, κἀπολάζυσθαι θέλει.
Πῶς οὖν θανὼν ἂν ἀπολάβοι; κεῖνος δὲ πῶς
Τὰ ζῶντα τοῖς θανοῦσ' ἂν ἀποδοίη ποτέ;

Significare *ſibi*, quando in hunc agrum veneris.
Quid ais? dicamus fratri meo hunc
Adeſſe, ut *res* mea tuta ſit?
H. O Virgo, cado ſupplex ad genua tua,
Et ſedeo prope te miſeram ſeſſionem,
Pro me ipſa, et iſto, quem vix tandem
Nacta, in ipſo articulo diſcriminis ſim, ut videam
Eum mori. Ne dicas tuo fratri, meum maritu
Hunc veniſſe in meas chariſſimas manus.
Serva vero *ipſum*, oro te ſupplex, fratri vero tuo
Pietatem tuam ne prodas unquam,
Gratiam malam injuſtamque *tibi* comparans.
Odit enim Deus vim. Partas vero *res*
Poſſidere jubet omnes, non per rapinas.
Omittendae autem ſunt divitiae, injuſtae exiſtentes:
Commune enim eſt coelum omnibus hominibus,
Et terra, in qua oportet implentes domos
Non habere aliena, neque auferre vi.
Me vero divino conſilio, ſed cum mea miſeria,
Mercurius tradidit patri tuo, ut me ſervaret merito
Huic, qui adeſt et vult *me* recipere.
Quomodo igitur mortuus *me* recipiat? et quomodo
Ille vivam mortuo huic reddat? quamobrem jam

Dei numen, et patris *tui religionem* conſidera, utrum,
Deus, et ille mortuus, ea, quae ſunt aliorum,
Velint, an non velint reddere: equidem arbitror
Redditures. Haud igitur oportet te fratri *tuo* plus
Tribuere ſtulto, potius quam bono patri.
Si vero, vates exiſtens, et *rerum* divinarum interpres,
Juſtitiam quidem patris corrumpas,
Huic vero non juſto fratri *tuo* gratificaberis,
Turpe *fuerit*, te omnia quidem divina cognoſcere,
Et ea, quae ſunt, et quae non ſunt, juſta vero neſcire.
Me vero miſeram *ex* malis, in quibus verſor,
Libera, hoc negotio acceſſionem dans;
Nullus enim mortalium *eſt*, qui non oderit Helenam:
Quae in Graecia dicor prodens meum
Maritum habitaſſe in opulentis aedibus Phrygum.
Quod ſi *in* Graeciam venero, et rediero Spartam,
Audientes, *et* videntes, quod *ipſi* dearum dolis
Perierint, ego vero non fuerim proditrix amicorum
Referent me iterum in parem pudicitiae laudem:
Et dotatam elocabo filiam, quam nullus nunc ducit:
Et relinquens hanc acerbam errationem hic,
Fruar opibus, quas domi habeo.
Et ſiquidem hic mortuus in Pyra compoſitus fuiſſet,

Ἤδη τὰ τοῦ θεοῦ, καὶ τὰ τοῦ πατρὸς, σκόπει.
Πότερον ὁ δαίμων, χ᾽ ὡ θανὼν τὰ τῶν πέλας
Βούλοιντ᾽ ἂν, ἢ βούλοιντ᾽ ἂν ἀποδοῦναι πάλιν;
Δοκῶ μὲν οὐκοῦν χρή σε συγγόνῳ πλέον
Νέμειν ματαίῳ, μᾶλλον ἢ χρηστῷ πατρί.
Εἰ δ᾽, οὖσα μάντις, καὶ τὰ θεῖ᾽ ἡγουμένη,
Τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς,
Τῷ δ᾽ οὐ δικαίῳ συγγόνῳ δώσεις δίκην,
Αἰσχρὸν, τὰ μέν σε θεῖα πάντ᾽ ἐξειδέναι,
Τά τ᾽ ὄντα, καὶ μὴ, τὰ δὲ δίκαια μὴ εἰδέναι,
Τήν τ᾽ ἀθλίαν ἔμ᾽, οἷσιν ἔγκειμαι κακοῖς,
Ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης.
Ἑλένην γὰρ οὐδεὶς ὅστις οὐ στυγεῖ βροτῶν·
Ἣ κλῄζομαι καθ᾽ Ἑλλάδ᾽ ὡς, προδοῦσ᾽ ἐμὸν
Πόσιν, Φρυγῶν ᾤκησα πολυχρύσους δόμους:
Ἢν δ᾽ Ἑλλάδ᾽ ἔλθω, κἀπιβῶ Σπάρτης πάλιν,
Κλύοντες, εἰσιδόντες, ὡς τέχναις θεῶν
Ὤλοντ᾽, ἐγὼ δὲ προδότις οὐκ ἄρ᾽ ἦν φίλων,
Πάλιν μ᾽ ἀνάξουσ᾽ εἰς τὸ σῶφρον αὖθις ἄν,
Ἑδνάσομαί τε θυγατέρ᾽, ἣν οὐδεὶς γαμεῖ.
Τὴν δ᾽ ἐνθάδ᾽ ἐκλιποῦσ᾽ ἀλητείαν πικρὰν,
Ὄντων ἐν οἴκοις χρημάτων ὀνήσομαι.
Κεἰ μὲν θανὼν ὅδ᾽ ἐν πυρᾷ κατεσφάγη,

Πρόσω σφ' ἀπόντα δακρύοις ἂν ἠγάπων·
Νῦν δ' ὄντα, καὶ σωθέντ' ἀφαιρεθήσομαι.
Μὴ δῆτα, παρθέν', ἀλλά σ' ἱκετεύω τόδε.
Δὸς τὴν χάριν μοι τήνδε, καὶ μιμοῦ τρόπους
Πατρὸς δικαίου· παιδὶ γὰρ κλέος τόδε
Κάλλιστον, ὅστις, ἐκ πατρὸς χρηστοῦ γεγὼς,
Εἰς ταυτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.
Θ. Οἰκτρὸν μὲν οἱ παρόντες ἐν μέσῳ λόγοι,
Οἰκτρὰ δὲ καὶ σύ· τοῦ δὲ Μενέλεω ποθῶ
Λόγους ἀκοῦσαι, τίνας ἐρεῖ ψυχῆς πέρι.
Μ. Ἐγὼ σὸν οὔτ' ἂν προσπεσεῖν τλαίην γόνυ,
Οὔτ' ἂν δακρῦσαι βλέφαρα· τὴν Τροίαν γὰρ ἂν,
Δειλοὶ γενόμενοι, πλεῖστον αἰσχύνοιμεν ἄν.
Καίτοι λέγουσιν, ὡς πρὸς ἀνδρὸς εὐγενοῦς
Ἐν ξυμφοραῖσι δάκρυ' ἀπ' ὀφθαλμῶν βαλεῖν·
Ἀλλ' οὐχὶ τοῦτο τὸ καλὸν, εἰ καλὸν τόδε,
Αἱρήσομαι τοπρόσθε τῆς εὐδαιμονίας.
Ἀλλ' εἰ μὲν ἄνδρα σοι δοκεῖ σῶσαι ξένον,
Ζητοῦντά γ' ὀρθῶς ἀπολαβεῖν δάμαρτ' ἐμὴν,
Ἀπόδος τε, καὶ πρὸς, σῶσον· εἰ δὲ μὴ δοκεῖ,
Ἐγὼ μὲν οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις,
Ἄθλιος ἂν εἴην, σὺ δὲ γυνὴ κακὴ φανῇ.
Ἃ δ' ἄξι' ἡμῶν, καὶ δίκαι', ἡγούμεθα,

Lacrymis proſequerer eum procul abſentem;
Nunc vero ſpoliabor vivo, et ſalvo.
Ne igitur, o virgo, *facias*; ſed hoc te ſupplex rogo,
Tribue mihi beneficium hoc, et imitare mores
Juſti patris: haec enim liberis *eſt* gloria
Pulcherrima, quicunque ex bono patre nati
Eoſdem mores habent, quos parentes. T. Digna
Quidem ſunt commiſeratione quae jam dixiſti: ſed
Et tu quoque miſerabilis. Deſidero tamen Menelai
Sermonem audire, quem dicturus eſt de vita.
M. Ego neque ſuſtinebo procidere ad tua genua,
Neque lacrymis rigare palpebras: nam res ad
Trojam geſtas valde dedecorarem, ſi timidus eſſem.
Quanquam dicunt, quod ſit generoſi viri,
In adverſis rebus lacrymas ab oculis emittere:
Sed nequaquam hoc honeſtum, *modo* hoc honeſtum
Sit, ſequar, potius quam fortitudinem. Sed
Siquidem tibi videtur virum peregrinum ſervare,
Et qui quaerit juſte recipere ſuam uxorem,
Redde, et inſuper, ſerva *nos*: ſi vero non videtur,
Ego quidem non nunc primum, ſed ſaepius
Miſer fuerim, tu vero videberis injuſta mulier.
Quae autem digna *ſunt* nobis, et quae juſta ducimus,

Et *quae* tuum cor maxime pungent,
Dicam ad monumentum hoc patris tui deſiderio;
O ſenex, qui habitas hoc lapideum ſepulchrum,
Rogo te, ut mihi meam uxorem reddas,
Quam Jupiter huc miſit tibi, ut mihi ſervares.
Scio quod nobis nunquam reddes *hanc* mortuus:
Sed haec patrem ſub terra invocatum,
Qui antea fuit glorioſiſſimus, non ſinet
Male audire: nam ipſa nunc habet hanc rem in
Poteſtate *ſua*. O inferne Pluto, etiam te adjutorem
Invoco, qui multa corpora propter hanc
Accepiſti, quae ceciderunt meo gladio, et habes
Mercedem: aut nunc illos redde vivos,
Aut coge tandem hanc, patre pio
Praeſtantiorem, *mihi* meam uxorem reddere.
Quod ſi me mea conjuge ſpoliaveritis,
Quas haec praeteriit rationes, *eas* tibi dicam.
Jurejurando tenemur obſtricti, ut ſcias, virgo,
Primum quidem dimicare cum tuo fratre;
Et illum, vel me, oportet mori. Simplex oratio *eſt*.
Si vero in pugna pedem pedi non opponat, fame
Vero nos *ad* tumulum ſupplices expugnare conetur,
Decrevi hanc interficere, et deinde meum

Καὶ σῆς μάλιστα καρδίας ἀνθάψεται,
Λέξω τάδ᾽, ἀμφὶ μνῆμα σοῦ πατρὸς πόθῳ·
Ὦ γέρον, ὃς οἰκεῖς τόνδε λάϊνον τάφον,
Ἀπόδος, ἀπαιτῶ, τὴν ἐμὴν δάμαρτά, σε,
Ἣν Ζεὺς ἔπεμψε δεῦρό σοι, σώζειν ἐμοί.
Οἶδ᾽ οὕνεχ᾽ ἡμῖν οὔποτ᾽ ἀποδώσεις θανών·
Ἀλλ᾽ ἥδε πατέρα νέρθεν ἀνακαλούμενον
Οὐκ ἀξιώσει, τὸν πρὶν εὐκλεέστατον,
Κακῶς ἀκοῦσαι· κυρία γάρ ἐστι νῦν.
Ὦ νέρτερ᾽ Ἅιδη, καὶ σὲ σύμμαχον καλῶ,
Ὃς πόλλ᾽ ἐδέξω τῆσδ᾽ ἕκατι σώματα,
Πεσόντα τῷ 'μῷ φασγάνῳ, μισθὸν δ᾽ ἔχεις·
Ἢ νῦν ἐκείνους ἀπόδος ἐμψύχους πάλιν,
Ἢ τήνδ᾽ ἀνάγκασόν πότ᾽, εὐσεβοῦς πατρὸς
Κρείσσω φανεῖσαν, τἀμά γ᾽ ἀποδοῦναι λέχη.
Εἰ δ᾽ ἐμὲ γυναῖκα τὴν ἐμὴν συλήσετε,
Ἅ σοι παρέλειπεν ἥδε τῶν λόγων, φράσω.
Ὅρκοις κεκλήμεθ᾽, ὡς μάθῃς, ὦ παρθένε,
Πρῶτον μὲν ἐλθεῖν διὰ μάχης σῷ συγγόνῳ·
Κἀκεῖνον, ἢ μὲ, δεῖ θανεῖν· ἁπλοῦς λόγος.
Ἢν δ᾽ ἐς μὲν ἀλκὴν μὴ πόδ᾽ ἀντιθῇ ποδί,
Λιμῷ δὲ θηρᾷ τύμβον ἱκετεύοντε νὼ,
Κτανεῖν δέδοκται τήνδ᾽ ἐμοὶ, κἄπειτ᾽ ἐμὸν

Πρὸς ἧπαρ ὦσαι δίστομον ξίφος τόδε,
Τύμβου ᾽πὶ νώτοις τοῦδ᾽, ἵν᾽ αἵματος ῥοαὶ
Τάφου καταστάζωσι· κεισόμεσθα δὲ
Νεκρὼ δύ᾽ ἑξῆς τῷδ᾽ ἐπὶ ξεστῷ τάφῳ,
Ἀθάνατον ἄλγος σοὶ, ψόγος δὲ σῷ πατρί.
Οὐ γὰρ γαμεῖ τήνδ᾽ οὔτε σύγγονος σέθεν,
Οὔτ᾽ ἄλλος οὐδείς· ἀλλ᾽ ἐγώ σφ᾽ ἀπάξομαι,
Εἰ μὴ πρὸς οἴκους δυνάμεθ᾽, ἀλλὰ πρὸς νεκρούς.
Τί ταῦτα; δακρύοις εἰς τὸ θῆλυ τρεπόμενος,
Ἐλεεινὸς ἦν ἂν μᾶλλον, ἢ δραστήριος.
Κτεῖν᾽, εἰ δοκεῖ σοι· δυσκλεῶς γὰρ οὐ κτενεῖς.
Μᾶλλόν γε μέντοι τοῖς ἐμοῖς πείθου λόγοις,
Ἵν᾽ ἧς δικαία, καὶ δάμαρτ᾽ ἐγὼ λάβω.
Χ. Ἐν σοὶ βραβεύειν, ὦ νεᾶνι, τοὺς λόγους·
Οὕτω δὲ κρῖνον, ὡς ἅπασιν ἁνδάνῃς.
Θ. Ἐγὼ πέφυκά τ᾽ εὐσεβεῖν, καὶ βούλομαι·
Φιλῶ τ᾽ ἐμαυτὴν, καὶ κλέος τοὐμοῦ πατρὸς
Οὐκ ἂν μιάναιμ᾽, οὐδὲ συγγόνῳ χάριν
Δοίην ἂν, ἐξ ἧς δυσκλεὴς φανήσομαι.
Ἔνεστι δ᾽ ἱερὸν τῆς δίκης ἐμοὶ μέγα
Ἐν τῇ φύσει· καὶ τοῦτο Νηρέως πάρα
Ἔχουσα, σώζειν Μενέλεων πειράσομαι.
Ἥρα δ᾽ ἐπείπερ βούλεταί σ᾽ εὐεργετεῖν,

Ad hepar adigere gladium hunc ancipitem,
Hujus ſepulchri ſupra dorſum, ut ſanguinis fluxus
Deſtillent in ſepulchrum: jacebimus autem
Mortui ambo ordine ſupra hoc politum ſepulcrum
Perpetuus dolor tibi, et probrum patri tuo.
Non enim ducet hanc neque frater tuus,
Nec alius quiſquam: ſed ego abducam eam,
Si non poſſum domum, ſaltem ad mortuos.
Quid iſta *dico?* Si ad foemineam *mollitiem* lacrymis
Me converterem, miſerandus eſſem potius, quam
Strenuus. Interfice, ſi videtur tibi: non enim
Inglorium *me* interficies. Potius vero obtempera
Meis verbis ut ſis juſta, et ego accipiam *meam*
Conjugem. C. In te *eſt*, o puella, judicare litem.
Sic autem judica, ut omnibus placeas. T. Ego ſic
Sum a natura inſtituta, ut amem pietatem, idque
Volo: Amoque me ipſam, et gloriam mei patris
Non polluam, neque fratri gratiam
Tribuam, ex qua poſſim infamis videri.
Magnum enim Sacellum Juſtitiae mihi ineſt
In natura: et hoc a Nereo
Habens, conabor Menelaum ſervare.
Quando autem Juno vult tibi benefacere,

Eodem calculum feram, Venus vero mihi
Propitia quidem ſit: nuſquam tamen ullum
Commercium illa mecum habuit: conabor enim
Semper manere virgo. Quae vero ad hoc
Sepulchrum exprobraſti patri *meo*, idem et ipſa dico.
Nam injuſte facerem, ſi non redderem. Ille enim
Vivens reddidiſſet tibi hanc, ut haberes, et huic
Te: vindicta enim eſt horum et apud mortuos,
Et vivos homines omnes: mens *enim*
Defunctorum non vivit quidem: ſenſum tamen
Habet immortalem, incidens in immortalem
Aetherem. Ut igitur rem pertexam non prolixe,
Tacebo quae me ſuppliciter rogaſtis: neque
Stultitiae fratris unquam conſentiens adjutrix ero:
Afficiam enim eum beneficio, tametſi non videar,
Ex impietate ſi pium ipſum faciam.
Vos igitur invenite *veſtrarum difficultatum* exitum:
Ego vero e medio recedens, tacebo.
Incipite vero a Diis, et ſupplices rogate
Venerem quidem, ut permittat te redire in patriam:
Junonem vero, ut in eadem ſententia maneat,
Quam habet de ſalute tua, et mariti tui.
Tu vero, o pater, qui defunctus es, quantum ego

Εἰς ταυτὸν οἴσω ψῆφον· ἡ Κύπρις δ' ἐμοὶ
Ἵλεως μὲν εἴη, συμβέβηκε δ' οὐδαμοῦ·
Πειράσομαι δὲ παρθένος μένειν ἀεί.
Ἃ δ' ἀμφὶ τύμβῳ τῷδ' ὀνειδίζεις πατρὶ,
Ἡμῖν ὅδ' αὐτὸς μῦθος· ἀδικοίημεν ἂν,
Εἰ μὴ 'ποδώσω· καὶ γὰρ ἂν κεῖνος βλέπων
Ἀπέδωκεν ἄν σοι τήν γ' ἔχειν, ταύτῃ δέ σε.
Καὶ γὰρ τίσις τῶνδ' ἐστὶ τοῖς τε νερτέροις,
Καὶ τοῖς ἄνωθεν πᾶσιν ἀνθρώποις· ὁ νοῦς
Τῶν κατθανόντων, ζῇ μὲν οὔ, γνώμην δ' ἔχει
Ἀθάνατον, εἰς ἀθάνατον αἰθέρ' ἐμπεσών.
Ὡς οὖν περαίνω μὴ μακρὰν, σιγήσομαι,
Ἅ μου καθικετεύσατ', οὐδὲ μωρίᾳ
Ξύμβουλος ἔσομαι τοῦ κασιγνήτου ποτέ.
Εὐεργετῶ γὰρ κεῖνον οὐ δοκοῦσ' ὅμως,
Ἐκ δυσσεβείας ὅσιον εἰ τίθημι νῦν·
Αὐτοὶ μὲν οὖν τὴν ἔξοδόν γ' εὑρίσκετε·
Ἐγὼ δ', ἀποστᾶσ' ἐκποδὼν, σιγήσομαι.
Ἐκ τῶν θεῶν δ' ἄρχεσθε, χ' ἱκετεύετε
Τὴν μέν σ' ἐᾶσαι πατρίδα νοστῆσαι Κύπριν,
Ἥρας δὲ τὴν ἔννοιαν ἐν ταυτῷ μένειν,
Ἣν εἰς σὲ, καὶ σὸν πόσιν, ἔχει σωτηρίας.
Σύ δ' αὖ θανών μοι, πάτερ, ὅσον γ' ἐγὼ σθένω,

Οὔποτε κεκλήσῃ δυσσεβὴς ἀντ' εὐσεβοῦς.
Χ. Οὐδείς ποτ' εὐτύχησεν, ἔκδικος γεγώς,
Ἐν τῷ δικαίῳ δ' ἐλπίδες σωτηρίας.
Ε. Μενέλαε, πρὸς μὲν παρθένου σεσώσμεθα.
Τοὐνθένδε δή σε, τοὺς λόγους φέροντα, χρὴ
Κοινὴν ξυνάπτειν μηχανὴν σωτηρίας.
Μ. Ἄκουε δὴ νῦν· χρόνιος εἶ κατὰ στέγας,
Καὶ συντέθραψαι προσπόλοισι βασιλέως.
Ε. Τί τοῦτ' ἔλεξας; εἰσφέρεις γὰρ ἐλπίδας,
Ὡς δή τι δράσων χρηστὸν εἰς κοινόν γε νῷν.
Μ. Πείσειας ἄν τιν', οἵτινες τετραζύγων
Ὄχων ἀνάσσουσ', ὥστε νῷν δοῦναι δίφρους;
Ε. Πείσαιμ' ἄν· ἀλλὰ τίνα φυγὴν φευξούμεθα,
Πεδίων ἄπειροι, βαρβάρου τ' ὄντες χθονός;
Ἀδύνατον εἶπας. Μ. Φέρε, τί δ' εἰ, κρυφθεὶς δόμοις,
Κτάνοιμ' ἄνακτα τῷδε διστόμῳ ξίφει;
Ε. Οὐκ ἄν σ' ἀνάσχοιτ', οὐδὲ σιγήσειεν ἄν,
Μέλλοντ' ἀδελφὴ σύγγονον κατακτανεῖν.
Μ. Ἀλλ' οὐδὲ μὴν ναῦς ἐστιν, ᾗ σωθεῖμεν ἄν
Φεύγοντες· ἣν γὰρ εἴχομεν, θάλασσ' ἔχει.
Ε. Ἄκουσον, ἤν τι καὶ γυνὴ λέξῃ σοφόν.
Βούλει λέγεσθαι, μὴ θανών, λόγῳ θανεῖν;

Poſſum, nunquam impius pro pio vocaberis.
C. Nemo unquam injuſtus fortunatus fuit:
In cauſa vero juſta ſpes *eſt* ſalutis.
H. Menelae, ſervati quidem ſumus quod ad
Virginem. Hinc vero jam oportet te rationibus *in*
Medium collatis, communem ſalutis *parandae*
Rationem mecum excogitare. M. Audi nunc: tu
Diu fuiſti in hac domo, et cum famulis regis
Convixiſti. H. Quare hoc dixiſti? affers enim ſpem.
Quaſi aliquid boni facturus ſis in commune nobis.
M. Perſuadere poſſes alcui *eorum*, qui quadrijugis
Vehiculis praeſunt, ut nobis det currum?
H. Perſuaſero forſan: ſed quo modo fugiemus,
Qui ſumus imperiti camporum et terrae barbaricae,
Dixiſti rem impoſſibilem. M. Age, quid vero ſi
Occultatas *in* aedibus, interficiam hoc ancipiti
Gladio regem? H. Non pateretur, neque taceret
Soror, ſi fratrem interfecturus eſſes,
M. At neque navis *nobis* eſt, qua ſervari poſſimus
Fugientes: quam enim habebamus, mare *nunc*
Habet. H. Audi, ſi quid et mulier dixerit ſapienter:
Vis dici mortuus verbis, cum *revera* non ſis mortuus?

M. Malum quidem *eſt* omen: ſi quid tamen
Lucrabor *hoc* dicens, paratus ſum verbis mori, re
Non moriens. H. Movebo autem miſericordiam
Muliebri tonſura et lamentationibus apud impium
Regem. M. Quod vero *res* iſta nobis remedium
Habet ſalutis? Ineſt enim ſermoni priſcum quiddam.
H. Quaſi jam in mari mortuus ſis, inani ſepulchro,
Ab hujus agri tyranno petam, ut mihi permittat te
Sepelire. M. Fac autem eum conceſſiſſe: deinde
Quomodo ſine navi ſervabimur, ſepelientes meum
Corpus in inani ſepulchro? H. Jubebo navim dare:
Qua demittam ornatum ad tuam ſepulturam, in
Ulnas maris. M. Quam bene hoc dixiſti? praeter
Illud, ſi in terra ſepulturam facere te jubeat, iſtum
Commentum nihil *utiliatis* feret. H. Sed dicemus
Non eſſe conſuetudinem in Graecia, tegere terra eos,
Qui in mari ſunt mortui. M. Bene hoc etiam
Excogitas: deinde ego tecum navigabo, et ſimul
Ornatum ex eadem navi demittam. H. Oportet te
Adeſſe ex primis, et tuos ſocios navigationis, qui
Evaſerunt naufragio. M. Atqui, ſi navim in ſalo
Nanciſcar, ſtabit vir juxta virum armatus gladio.
H. Oportet te *iſta* gubernare;

Μ. Καλὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ λέγων,
Ἕτοιμός εἰμι, μὴ θανὼν, λόγῳ θανεῖν.
Ε. Καὶ μὴν γυναικείοις ἂν οἰκτισαίμεθα
Κουραῖσι, καὶ θρήνοισι πρὸς τὸν ἀνόσιον.
Μ. Σωτηρίας δὲ τοῦτ᾽ ἔχει τι νῷν ἄκος;
Ε. Παλαιότης γὰρ τῷ λόγῳ γ᾽ ἔνεστί τις,
Ὡς δὴ θανόντα σ᾽ ἐνάλιον κενῷ τάφῳ
Θάψαι τύραννον τῆσδε γῆς αἰτήσομαι.
Μ. Καὶ δὴ παρεῖκεν· εἶτα πῶς ἄνευ νεὼς
Σωθησόμεσθα κενοταφοῦντ᾽ ἐμὸν δέμας;
Ε. Δοῦναι κελεύσω πορθμίδ᾽, ᾗ καθήσομαι
Κόσμον τάφῳ σῷ, πελαγίας ἐς ἀγκάλας.
Μ. Ὡς εὖ τόδ᾽ εἶπας, πλὴν ἕν· εἰ χέρσῳ ταφὰς
Θεῖναι κελεύει σ᾽, οὐδὲν ἡ σκῆψις φέρει.
Ε. Ἀλλ᾽ οὐ νομίζειν φήσομεν καθ᾽ Ἑλλάδα
Χέρσῳ καλύπτειν τοὺς θανόντας ἐναλίους.
Μ. Τοῦτ᾽ αὖ κατορθοῖς· εἶτ᾽ ἐγὼ συμπλεύσομαι,
Καὶ συγκαθήσω κόσμον ἐν ταυτῷ σκάφει.
Ε. Σὲ καὶ παρεῖναι δεῖ μάλιστα, τούς τε σοὺς
Πλωτῆρας, οἵπερ ἔφυγον ἐκ ναυαγίας.
Μ. Καὶ μὴν, ἐάνπερ ναῦν ἐπ᾽ ἀγκύρας λάβω,
Ἀνὴρ παρ᾽ ἄνδρα στήσεται ξιφηφόρος.
Ε. Σὲ χρὴ βραβεύειν πάντα· πόμπιμοι μόνον

Λαίφει πνοαὶ γένοιντο, καὶ νεὼς δρόμος.
Μ. Ἔσται· πόνους γὰρ δαίμονες παύσουσί μου.
Ἀτὰρ θανόντα τοῦ μ' ἐρεῖς πεπυσμένη;
Ε. Σοῦ, καὶ μόνος γε φάσκε διαφυγεῖν μόρον,
Ἀτρέως πλέων σὺν παιδὶ, καὶ θανόνθ' ὁρᾷν.
Μ. Καὶ μὴν τάδ' ἀμφίβληστρα σώματος ῥάκη
Ξυμμαρτυρήσει ναυτικῶν ἐρειπίων.
Ε. Εἰς καιρὸν ἦλθε· τότε δ' ἄκαιρ' ἀπώλλυτο.
Τὸ δ' ἄθλιον κεῖν', εὐτυχὲς τάχ' ἂν πέσοι.
Μ. Πότερα δ' ἐς οἴκους σοι συνεισελθεῖν με χρὴ,
Ἢ πρὸς τάφῳ τῷδ' ἥσυχοι καθώμεθα;
Ε. Αὐτοῦ μέν'· ἢν γὰρ καί τι πλημμελές σε δρᾷ,
Τάφος σ' ὅδ' ἂν ῥύσαιτο, φάσγανόν τε σόν.
Ἐγὼ δ', ἐς οἴκους βᾶσα, βοστρύχους τεμῶ,
Πέπλων τε λευκῶν μέλανας ἀνταλλάξομαι,
Παρηΐδι τ' ὄνυχα φόνιον ἐμβαλῶ χροός.
Μέγας γὰρ ὁ ἀγὼν, καὶ βλέπω δύω ῥοπάς·
Ἢ γὰρ θανεῖν μ', ἢν ἁλῶ τεχνωμένη,
Ἢ πατρίδ' ἀπελθεῖν, καὶ σὸν ἐκσῶσαι δέμας.
Ὦ πότνι', ἣ δίοισιν ἐν λέκτροις πιτνεῖς,
Ἥρα, δύ' οἰκτρὼ φῶτ' ἀνάψυξον πόνων,
Αἰτούμεθ', ὀρθὰς ὠλένας πρὸς οὐρανὸν
Ῥιπτοῦνθ', ἵν' οἰκεῖς ἀστέρων ποικίλματα.

Tantum ſecundi flatus ſint velo, et navis curſus!
M. Fient *haec*. Dii enim finient meos labores.
Sed ex quo dices te audviſſe, quod mortuus ſim?
H. Ex te: dic autem te ſolum evaſiſſe
Fatum, navigantem cum filio Atrei, et
Vidiſſe eum mori. M. Certe haec lacerata et
Pannoſa corporis veſtimenta fidem nauticis ruinis
Facient. H. Commode venerunt; tunc vero
Incommode perdebantur. Illud vero miſerum
Fortaſſe in bonum *nunc* recidet. M. Utrum vero
Me tecum in aedes ingredi oportet, an tranquilli
Sedebimus ad hoc ſepulcrum? H. Maneas hic: nam
Si quid violentius in te voluerit agere hoc ſepulcrum
Tuebitur te, et tuus enſis. Ego vero vadens domum,
Praecidam cincinnos, et mutabo candidas veſtes
Nigris, et injiciam ungues genis, rivum cruentum.
Magnum enim periculum, et video duo momenta:
Aut enim oportet me mori, ſi deprehenſa fuero
Aliquid machinari: aut abire *in* patriam, et ſervare
Tuum corpus. O veneranda, quae jaces in lecto
Jovis, Juno, duos miſeros homines recrea a
Laboribus; petimus, recta brachia ad coelum
Jactantes, ubi habitas in picta ſede aſtrorum.

Et tu, quae conſecuta es laudem-pulchritudinis meis
Nuptiis, Venus, filia Dionea, ne me perdas,
Satis enim damni, quo me hactenus affeciſti,
Nomen *meum* praebens apud barbaros, non corpus.
Sine vero me mori, ſi vis *me* occidere,
In patria. Cur es inexplebilis malis?
Amores, fraudes, et doloſa inventa
Exercens, et cruentas corporum illecebras:
Sed ſi moderata eſſes: in *rebus* caeteris ſuaviſſima
Dearum hominibus eſſes, non aliter dico.

ANTISTROPHICA.

STROPHE I.

C. Te vallibus ſub frondoſis,
Sedentem in muſeis, et ſedibus voco,
Te muſicam, *et* maxime canoram avem
Flebilem luſciniam:
Veni per flavas
Genas modulans,
Socia meorum luctuum,
Miſeros labores Helenae
Canens, et Iliadum
Lacrymabilem laborem,
Per haſtas Graecorum

Σύ δ', ἣ 'πὶ τῷ μῷ κάλλος ἐκτήσω γάμῳ,
Κόρη Διώνης, Κύπρι, μή μ' ἐξεργάσῃ.
Ἅλις δὲ λύμης, ἥν ἐλυμήνω πάρος,
Τοὔνομα παρασχῦσ', οὐ τὸ σῶμ', ἐν βαρβάροις.
Θανεῖν τ' ἔασόν μ', εἰ κατακτεῖναι θέλεις,
Ἐν γῇ πατρῴᾳ· τί ποτ' ἄπληστος εἶ κακῶν;
Ἔρωτας, ἀπάτας, δόλιά τ' ἐξευρήματα,
Ἀκῦσα, φίλτρα θ' αἱματηρὰ δωμάτων;
Εἰ δ' ἦσθα μετρία, τἄλλα γ' ἡδίστη θεῶν
Πέφυκας ἀνθρώποισιν· ὐκ ἄλλως λέγω.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ Α'.

Χ. Σὲ τὰν ἐναύλιοις ὑπὸ δενδροκόμοις,
Μυσεῖα, καὶ θάκυς ἐνίζυσαν ἀναβοάσω,
Σὲ τὰν ἀοιδοτάταν ὄρνιθα μελῳδὸν
Ἀηδόνα δακρυόεσσαν,
Ἐλθὲ διὰ ξυθᾶν
Γενύων ἐλελιζομένα.
Θρήνοις ἐμοῖς ξυνεργὸς,
Ἑλένας μελέας πόνυς,
Τὸν Ἰλιάδων τ' ἀει-
δοῦσα δακρυόεντα πόνον,
Ἀχαιῶν ὑπὸ λόγχαις

Ὃς ἔμολεν ἔμολε πεδία·
Βαρβάρῳ πλάτᾳ
Ὃς ἔδραμε ῥόθια, μέλεα
Πριαμίδαις ἄγων
Λακεδαίμονος ἄπο
Λέχε', ἃ, σέθεν ὡς, εἷλε
Πάρις αἰνόγαμος
Πομπαῖσιν Ἀφροδίτας.

ΑΝΤΙΣΤΡΟΦΗ Α'.

Πολλοὶ δ' Ἀχαιῶν ἐν δορὶ, καὶ πετρίναις
Ῥιπαῖσιν, ἐκπνεύσαντες, αἶαν μέλεον ἔχουσι,
Τάλαιναν τῶν ἀλόχων κείραντες ἔθειραν.
Ἄνυμφα δὲ μέλαθρα κεῖται·
Πολλοὺς δὲ, πυρσεύσας
Φλογερὸν σέλας ἀμφὶ ῥυτὰν
Εὔβοιαν, εἷλ' Ἀχαιῶν
Μονόκωπος ἀνὴρ, πέτραις
Καφηρίαις ἐμβαλὼν,
Αἰγαίαις τ' ἐναλίοις ἀκταῖς
Δόλιον ἀστέρα λάμψας
Ἀλίμενα δ' ὄρεα μέλεα·
Βαρβάρου στολᾶς,
Ὅτε σὺ τὸ πατρίδος ἄπο, προ-
χευμάτων πνοᾷ,

Qui venit, venit ad campos
Barbarico remo,
Quando cucurrit fluctus, miſer
Adducens Trojanis
Ex Lacedaemone
Connubia, quae, ut tua, rapuit
Paris infelix ſponſus
Ductu Veneris.

ANTISTROPHE I.

Multi autem Graecorum haſtis, et ſaxis,
Jactibus expirantes mortem miſeram habent,
Tonderi facientes lugubrem uxorum comam,
Vacuae autem ſponſis jacent aedes.
Multos autem, accendens
Ardentem lucem circa amaenam
Euboeam, perdidit Archivorum
Uniremus Vir, rupibus
Caphareis injiciens
Et Aegaeis, ſcaphis in mari jactatis,
Doloſam ſtellam accendens
Per importuoſos montes miſeros:
Quando claſſis barbaris ex
Fluviorum oſtiis properavit,
Patriae illecebris,

Acquiſitionem, non acquiſitionem, ſed
Contentionis cauſam Graecis, umbram
In navibus vehens,
Sacrum Junonis ſimulacrum.

STROPHE 2.

Deuſne ſit, annon Deus quod regit,
Quis dixerit ſcrutatus,
Mortalia: obſcuriſſimum eſt finem inve-
nire, quicunque Deorum *res* aſpicit
Miras, et hinc illuc
Et iterum contrariis,
Inſperatis caſibus ſalientes.
Tu es filia Jovis, o Helena,
Volucris enim in ſinu te Le-
dae genuit pater:
Et *tamen* fama de te *eſt* per Graeciam
Quod ſis injuſta, proditrix, perfi-
da, impia. Nec habeo,
Quidnam *ſit* certi adhuc inter mortales: ſed quod
Deorum eſt verum *eſſe* reperi explorans.

ANTISTROPHE 2.

Dementes *eſtis*, quotquot honores bello
Comparatis, haſtae fortis

Τέρας, ἐ τέρας, ἀλλ',
Ἔριν, Δαναῶν νεφέλαν
Ἐπὶ ναυσὶν ἄγων,
Εἴδωλον ἱερὸν Ἥρας.

ΣΤΡΟΦΗ Β'.

Ὅτι θεὸς, ἢ μὴ θεὸς, ἢ τὸ μέσον,
Τίς φαίη; ἐρευνήσας
Βροτῶν μακρότατον πέρας εὑ-
ρεῖν, ὃς τὰ θεῶν ἐσορᾷ
Δεινὰ, καὶ αὖθις ἐκεῖσε,
Καὶ πάλιν ἀντιλόγοις
Πηδῶντ' ἀνελπίςοις τύχαις.
Σὺ Διὸς ἔφυς, ὦ Ἑλένα, θυγάτηρ·
Πτανὸς γὰρ ἐν κόλποις σὲ Λή-
δας ἐτέκνωσε πατήρ.
Καὶ ἰαχὴ σὴ καθ' Ἑλλανίαν,
Ἄδικος, προδότις, ἄπι-
ςος, ἄθεος· ἐδ' ἔχω
Τί τὸ σαφὲς, ὅ, τί ποτ' ἐν βροτοῖς,
Τὸ θεῶν ἔπος ἀλαθὲς εὗρον.

ΑΝΤΙΣΤΡΟΦΗ Β'.

Ἄφρονες, ὅσοι τὰς ἀρετὰς πολέμῳ
Κτᾶσθε, δορὸς ἀλκαίε

Λόγχαισι καταπαυόμεναι
Πόνους θνατῶν ἀπαθῶς.
Εἰ γὰρ ἅμιλλα κρίνει νιν
Αἵματος, οὔ ποτ᾽ ἔρις
Λείψει κατ᾽ ἀνθρώπων πόλεις·
Αἳ Πριαμίδος γᾶς ἔλιπον θαλάμους,
Ἐξὸν διορθῶσαι λόγοις
Σὰν ἔριν, ὦ Ἑλένα.
Νῦν δ᾽ οἱ μὲν ἀΐδᾳ μέλονται κάτω,
Τείχεα δὲ, φλογμὸς ὥστε
Διὸς, ἐπέσυτο φλὸξ,
Ἐπὶ πάθεα πάθεσιν φέρουσ᾽
Ἀθλίοις ἐν συμφοραῖς Ἰλίοις.

ΙΑΜΒΟΙ.

Θ. Ὦ χαῖρε, πατρὸς μνῆμ᾽· ἐπ᾽ ἐξόδοισι γὰρ
Ἔθαψα, Πρωτεῦ, σ᾽, ἕνεκ᾽ ἐμῆς προσρήσεως·
Ἀεὶ δέ σ᾽, ἐξιών τε κ᾽ εἰσιὼν δόμοις,
Θεοκλύμενος παῖς ὅδε προσεννέπει, πάτερ.
Ὑμεῖς μὲν οὖν κύνας τε, καὶ θηρῶν βρόχους,
Δμῶες, κομίζετ᾽ εἰς δόμους τυραννικούς.
Ἐγὼ δ᾽ ἐμαυτόν πόλλ᾽ ἐλοιδόρησα δή·
Οὐ γάρ τι θανάτῳ τοὺς κακοὺς κολάζομεν.
Καὶ νῦν πέπυσμαι φανερὸν Ἑλλήνων τινὰ

Alea ſortientes
Caedes hominum ſtulte:
Si enim ipſos dirimet certamen
Sanguinis, nunquam contentio
Deerit in hominum urbibus.
Sicut Priameiae terrae thalamos gravarunt,
Cum verbis poſſet componi
Tua diſcordia, o Helena.
Nunc autem alii quidem apud inferos cum Plutone
Verſantur, moenia vero incendium, velut
Jovis invaſit flamma,
Clades ſupra clades afferens
Miſeris in calamitatibus antiquis.

IAMBI.

T. O ſalve patris ſepulchrum, in exitu enim *domus*
Te ſepelii, o Proteu, propter meam ſalutationem;
Semper autem te, egrediens domum,
Theoclymenus hic *tuus* affatur, pater.
Vos quidem, canes et beſtiarum retia,
Famuli, ferte in domum regiam:
Ego vero me ipſum ſaepe jam conviciis ſum inſectatus:
Nequaquam enim morte malos mulctamus.
Et hunc audivi quenquam Graecum palam

In *hanc* terram veniſſe, et feſelliſſe ſpeculatores,
Aut exploratorem, aut furto abducere captantem
Helenam: morietur autem, ſi modo fuerit
Comprehenſus. Age.
Sed, ut videtur, omnia peracta *jam*
Invenio: nam relicta vacua ſede ſepulcri,
Tyndarei filia, navigio diſceſſit ex *hac* terra.
Heu, laxate clauſtra, ſolvite equorum
Praeſepia, miniſtri, et exportate currus;
Ut ne me fallat propter laborem, ex terra
Hac exportata uxor, quam expeto.
Manete: video enim *eos*, quos perſequimur,
Adeſſe in aedibus, et non effugiſſe.
Heus tu, quare ſuſpendiſti nigras veſtes a corpore,
Mutatis albis, et a generoſo capite
Crines praecidiſti immiſſo ferro,
Et rigas tuas genas recentibus lacrymis
Plorans? utrum perſuaſa nocturnis
Somniis gemis, aut famam aliquam domo
Audiens, dolore conficis animum tuum?
H. O domine, jam enim te hoc nomine appello,
Perii: res meae evanidae, nihil ſum amplius.
T. In qua vero calamitate verſaris? qualis *eſt tua*

Εἰς γῆν ἀφῖχθαι, καὶ λεληθέναι σκοπούς,
Ἤτοι κατόπτην, ἢ κλοπαῖς θηρώμενον
Ἑλένην· θανεῖται δ', ἤν γε συλληφθῇ μόνον.
Ἔα.
Ἀλλ', ὡς ἔοικε, πάντα διαπεπραγμένα
Εὕρηκα· τύμβου γὰρ κενὰς λιποῦσ' ἕδρας,
Ἡ Τυνδαρὶς παῖς, ἐκπεπόρθμευται χθονός.
Ὠή· χαλᾶτε κλῆθρα, λύεθ' ἱππικὰς
Φάτνας, ὀπαδοὶ, κἀκκομίζεσθ' ἅρματα,
Ὡς ἂν πόνου γ' ἕκατι μὴ λάθῃ με γῆς
Τῆσδ' ἐκκομισθεῖσ' ἄλοχος, ἧς ἐφίεμαι.
Ἐπίσχετ'· εἰσορῶ γὰρ, οὓς διώκομεν,
Παρόντας ἐν δόμοισι, κοὐ πεφευγότας.
Αὕτη, τί πέπλους μέλανας ἐξήψω χροὸς
Λευκῶν ἀμείψασ', ἔκ τε κρατὸς εὐγενοῦς
Κόμας, σίδηρον ἐμβαλοῦσ', ἀπέθρισας,
Χλωραῖς τε τέγγεις δάκρυσι σὴν παρηΐδα
Κλαίουσα; πότερον ἐννύχοις πεπεισμένη
Στένεις ὀνείροις, ἢ, φάτιν τιν' οἴκοθεν
Κλύουσα, λύπῃ σὰς διέφθαρσαι φρένας;
Ε. Ὦ δέσποτ', ἤδη γὰρ τόδ' ὀνομάζω σ' ἔπος,
Ὄλωλα· φροῦδα τἀμὰ, κοὐδέν εἰμ' ἔτι.
Θ. Ἐν τῷδε κεῖσαι συμφορᾶς; τίς ἡ τύχη;

Ε. Μενέλαος, οἴμοι πῶς φράσω; τέθνηκέ μοι.
Θ. Οὐδέν τι χαίρω σοῖς λόγοις· τὰ δ' εὐτυχῶ.
Πῶς οἶσθα; μῶν σοι Θεονόη λέγει τάδε;
Ε. Κείνη τέ φησιν, ὅτε παρών, ὅτ' ὤλλυτο.
Θ. Ἥκει γάρ, ὅστις καὶ τάδ' ἀγγέλλει σαφῆ;
Ε. Ἥκει· μόλοι γάρ, ὡς ἐγὼ χρῄζω μολεῖν.
Θ. Τίς ἐστι; ποῦ 'στιν; ἵνα σαφέστερον μάθω.
Ε. Ὅδ', ὃς κάθηται τῷδ' ὑποπτήξας τάφῳ.
Θ. Ἄπολλον, ὡς ἐσθῆτι δυσμόρφῳ πρέπει.
Ε. Οἴμοι· δοκῶ μοι κἀμὸν ὧδ' ἔχειν πόσιν.
Θ. Ποδαπὸς δ' ὅδ' ἁνήρ, καὶ πόθεν κατέσχε γῆν;
Ε. Ἕλλην, Ἀχαιῶν εἷς, ἐμῷ σύμπλους πόσει.
Θ. Θανάτῳ δὲ ποίῳ φησὶ Μενέλεων θανεῖν;
Ε. Οἰκτρότατον, ὑγροῖσι κλυδωνίοις ἁλός.
Θ. Ποῦ; βαρβάροισι πελάγεσι ναυσθλούμενον;
Ε. Λιβύης ἀλιμένοις ἐκπεσόντα πρὸς πέτραις.
Θ. Καὶ πῶς ὅδ' οὐκ ὄλωλε κοινωνῶν πλάτης;
Ε. Ἐσθλῶν κακίους ἐνίοτ' εὐτυχέστεροι.
Θ. Λιπὼν δὲ ναὸς ποῦ πάρεστιν ἔκβολα;
Ε. Ὅπου κακῶς ὄλοιτο· Μενέλεως δὲ μή.
Θ. Ὄλωλ' ἐκεῖνος, ἦλθε δ' ἐν ποίῳ σκάφει;
Ε. Ναῦταί σφ' ἀνεῖλον ἐντυχόντες, ὡς λέγει.

Fortuna? H. Menelaus, hei mihi, quomodo *hac*
Dicam? mortuus eſt mihi. T Nihilo deteriori hac
Fortuna ob tuum nuncium utor. Quomodo autem
Noviſti? an tibi Theonoe hoc dixit? H. Et illa dicit, et
Hic, *qui fuit* praeſens, quum *ille* periit. T. Venitne
Aliquis, qui haec etiam certo nunciet? H. Venit:
Veniat, ut ego cupio *ipſum* venire. T. Quis eſt? ubi eſt?
Ut certius ſciam. H. Iſte, qui ſedet trepidans ad hoc
Monumentum. T. O Apollo, quam deformi veſtitu
Inſignis eſt? H. Hei mihi, videor mihi et meum
Maritum ſic ſe habere. T. Cujas autem *eſt* iſte vir, et
Unde appulit ad *hanc* terram? H. Graecus, unus e
Graecis, qui navigarunt cum marito meo.
T. Quo autem mortis genere ait Menelaum periiſſe?
H. Miſerrimo, humidis in fluctibus maris.
T. Ubi? an navigantem in mari barbarico? H. Libyae
Importuoſa ejectum ad ſaxa. T. Et quomodo hic
Non periit, cum fuerit ſocius navigationis?
H. Mali interdum ſunt fortunatiores bonis.
T. Ubi vero navis fragmenta *huc* veniens reliquit?
H. Ubi utinam periiſſet: non autem Menelaus.
T. Periit *igitur* ille: in qua ergo navi venit hicce?
H. Nautae caſu incidentes receperunt eum, ut dicit.

T. Ubi vero eſt noxa illa, quae ad Trojam pro te miſſa
Eſt? H. De effigie nubis loqueris? abit in aërem.
T. O Priame, et terra Trojana, ut fruſtra periiſti!
H. Et ego ſum particeps calamitatis Trojanorum.
T. Reliquitne maritum inſepultum, an vero texit terra?
H. Inſepultum: heu me miſeram propter mea mala.
T. Hujuſne *rei* cauſa ſecuiſti cincinnos flavae comae?
H. Amicus enim eſt, quibus eſt, in hoc loco poſitus.
T. An ut magnum quid haec calamitas defletur?
H. Nempe leviter ferres tuae ſororis mortem.
T. Nequaquam: quomodo igitur? an deinceps etiam
habitabis hoc ſepulchrum?
H. Quid me verbis mordacibus laceſſis, nec omittis
Mortuum? T. Tu enim es fida tuo marito, fugiens me,
H. Sed non amplius. Jam igitur meas nuptias poſſide.
T. Sero quidem veniſti: ſed tamen haec laudo.
H. Scis igitur quid velim te facere? priora oblivioni
Tradamus. T. Qua conditione? Gratia enim pro
Gratia veniat. H. Faciamus foedus, et reconcilieris
Mihi. T. Remitto indignationem adverſus te ſuſ-
ceptam; avolet autem in aërem.
H. Nunc te per haec genua, quando es amicus.
T. Quam rem captans, ſupplex a me cupide petis?

Θ. Πῦ δὴ τὸ πεμφθὲν ἀντὶ σῦ Τροίᾳ κακόν;
Ε. Νεφέλης λέγεις ἄγαλμ'; ἐς αἰθέρ' οἴχεται.
Θ. Ὦ Πρίαμε, καὶ γῆ Τρωὰς, ὡς ἔῤῥεις μάτην.
Ε. Κἀγὼ μετέσχον Πριαμίδαις δυσπραξίας.
Θ. Πόσιν δ' ἄθαπτον ἔλιπεν, ἢ κρύπτει χθονί;
Ε. Ἄθαπτον· οἳ 'γὼ τῶν ἐμῶν τλήμων κακῶν.
Θ. Τῶνδ' ὕνεκ' ἔταμες βοστρύχυς ξανθῆς κόμης;
Ε. Φίλος γάρ ἐστιν, ὅς ποτ' ἐστὶν ἐνθάδ' ὤν.
Θ. Ὀρθῶς μὲν ἥδε συμφορὰ δακρύεται;
Ε. Ἐν εὐμαρεῖ γοῦν σὴν κασιγνήτην θανεῖν;
Θ. Οὐ δῆτα· πῶς οὖν τόνδ' ἔτ' οἰκήσεις τάφον;
Ε. Τί κερτομεῖς με, τὸν θανόντα δ' ὐκ ἐᾷς;
Θ. Πιστὴ γὰρ ἐσσὶ σῷ πόσει, φεύγυσά με.
Ε. Ἀλλ' ὐκέτ'· ἤδη δ' ἄρχε τῶν ἐμῶν γάμων.
Θ. Χρόνια μὲν ἦλθες, ἀλλ' ὅμως αἰνῶ τάδε.
Ε. Οἶσθ' οὖν ὃ δρᾶσον; τῶν πάρος λαθοίμεθα.
Θ. Ἐπὶ τῷ; χάρις γὰρ ἀντὶ χάριτος ἐλθέτω.
Ε. Σπονδὰς τέμωμεν, καὶ διαλλάχθητί μοι.
Θ. Μεθίημι νεῖκος τὸ σόν· ἴτω δ' ὑπόπτερον.
Ε. Πρὸς νῦν σε γονάτων τῶνδ', ἐπείπερ εἶ φίλος.
Θ. Τί χρῆμα θηρῶσ', ἱκέτις ὠρέχθης ἐμοῦ;

Ε. Τὸν κατθανόντα πόσιν ἐμὸν θάψαι θέλω.
Θ. Τίς δ' ἔςʼ ἀπόντων τύμβος; ἢ θάψεις σκιάν;
Ε. Ἕλλησίν ἐςι νόμος, ὃς ἂν πόντῳ θάνῃ.—
Θ. Τί δρᾷν; σοφοί τοι Πελοπίδαι τὰ τοιάδε.
Ε. Κενοῖσι θάπτειν ἐν πέπλοις ὑφάσμασιν.
Θ. Κτέριζ'· ἀνίςη τύμβον, οὗ χρῄζεις χθονός.
Ε. Οὐχ ὧδε ναύτας ὀλομένους τυμβεύομεν.
Θ. Πῶς δαί; λέλειμμαι τῶν ἐν Ἕλλησι νόμων.
Ε. Εἰς πόντον, ὅσα χρὴ νέκυσιν, ἐξορμίζομεν.
Θ. Τί σοι παράσχω δῆτα τῷ τεθνηκότι;
Ε. Οὐκ οἶδ'· ἐγὼ δ' ἄπειρος, εὐτυχοῦσα πρίν.
Θ. Ὦ ξένε, λόγων μὲν κληδόν' ἤνεγκας φίλην.
Μ. Οὔκουν ἐμαυτῷ γ', οὐδὲ τῷ τεθνηκότι.
Θ. Πῶς τοὺς θανόντας θάπτετ' ἐν πόντῳ νεκρούς;
Μ. Ὡσὰν παρούσης οὐσίας ἕκαςος ᾖ.
Θ. Πλούτου λέγ' οὕνεχ', ὅ, τι θέλεις, ταύτης χάριν.
Μ. Προσφάζεται μὲν αἷμα πρῶτα νερτέροις.
Θ. Τίνος; σύ μοι σήμαινε, πείσομαι δ' ἐγώ.
Μ. Αὐτὸς σὺ γίνωσκ', ἀρκέσει γὰρ ἃν διδῷς.
Θ. Ἐν βαρβάροις μὲν, ἵππον, ἢ ταῦρον, νόμος.
Μ. Διδούς γε μὲν δὴ, δυσγενὲς μηδὲν δίδου.
Θ. Οὐ τῶν δ' ἐν ἀγέλαις ὀλβίαις σπανίζομεν.

H. Volo maritum meum defunctum ſepelire.
T. Quaenam autem eſt ſepultura abſentium? an
Sepelies umbram? H. Mos eſt apud Graecos, qui in
Mari mortuus fuerit; — T. Quid facere? Graeci
Profecto *ſunt* ſapientes talibus *in rebus*. H. Sepelire
Vacuis tunicis, bene textis. T. Fac funus, excita
tumulum, ubi terrarum volueris.
H. Non ſic ſepelimus nautas extinctos *in aquis*.
T. Quomodo igitur? ignoro mores Graecorum.
H. Exportamus in mare, quaecunque conveniunt
Mortuis. T. Quid igitur in tuam gratiam exhibebo
Mortuo? H. Neſcio: ego enim *ſum* imperita, cum
Prius, fuerim felix. T. O hoſpes, gratum profecto
Nuncium attuliſti. M. Non ſaltem mihi, neque
Mortuo. T. Quomodo ſepelitis mortuos, qui in mare
Perierunt? M. Prout ſunt uniuſcujuſque facultates.
T. Dic quod ad ſumptus attinet, quicquid voles,
Propter hanc. M. Primum quidem effuſus praelibatur
Sanguis mortuis. T. Cujus? tu indica mihi, ego vero
Parebo. M. Tu ipſe ſtatuito: ſufficient enim
Quaecunque dederis. T. Apud barbaros quidem
Mos *eſt*, equum aut taurum. M. Siquidem vis
Aliquid dare, nihil des generoſo indignum. T. His

Non caremus in divitibus armentis. M. Et afferuntur
Lecti ſtrati corpore vacui. T. Fiet: quid vero
Praeterea afferri mos eſt? M. Arma aenea: etenim
Erat amans armorum. T. Digna erunt hanc Pelopidis,
Quae dabimus. M. Et caetera quae tellus pulchra
Profert germina. T. Quid ergo? in fluctus quomodo
Dimittis? M. Navem oportet adeſſe et gubernatores
remorum.
T. Quantum vero ſpacii navem arcere a terra?
M. Ut vix conſpici poſſint a littore fluctus *circa*
Navem. T. Quid vero, quam ob *cauſam* hunc morem
Colit Graecia? M. Ne fluctus piamenta rurſus in
Terram ejiciat. T. Navis Phoeniſſa velox aderit.
M. Recte *hoc* erit, et Menelao gratum.
T. Nonne tu potes ſine hac iſta facere?
M. Matris hoc opus *eſt*, aut uxoris, aut filiorum.
T. Hujus negotium *eſt*, ut dicis, ſepelire maritum.
M. Res ſaltem pia *eſt*, non defraudare mortuos ſuis
Juſtis. T. Eat: mei refert, conjugem piam alere.
Profectus igitur in aedes, efferam ornatum mortuo,
Et dimittam te ex terra non vacuis manibus,
Gratificantem huic: nuncios vero mihi
Bonos quia attuliſti, pro ſordidis pannis,

Μ. Καὶ στρωτὰ φέρεται λέκτρα σώματος κενά.
Θ. Ἔσται· τί δ' ἄλλο προσφέρειν νομίζεται;
Μ. Χαλκήλαθ' ὅπλα· καὶ γὰρ ἦν φίλος δορί.
Θ. Ἄξια τάδ' ἔσται Πελοπιδῶν, ἃ δώσομεν.
Μ. Καὶ τἆλλ', ὅσα χθὼν καλὰ φέρει βλαστήματα.
Θ. Πῶς οὖν; ἐς οἶδμα τίνι τρόπῳ καθίετε;
Μ. Ναῦν δεῖ παρεῖναι, καὶ 'ρετμῶν ἐπιστάτας.
Θ. Πόσον δ' ἀπείργει μῆκος ἐκ γαίας δόρυ;
Μ. Ὥστ' ἐξορᾶσθαι ῥόθια χερσόθεν μόλις.
Θ. Τί δὴ, τόδ' Ἑλλὰς νόμιμον ἐκ τίνος σέβει;
Μ. Ὡς μὴ πάλιν γῆ λύματ' ἐκβάλλη κλύδων.
Θ. Φοίνισσα κώπη ταχύπορος γενήσεται.
Μ. Καλῶς ἂν εἴη, Μενέλεῳ γε πρὸς χάριν.
Θ. Οὔκουν σὺ χωρὶς τῆσδε δρῶν ἀρκεῖς τάδε;
Μ. Μητρὸς τόδ' ἔργον, ἢ γυναικὸς, ἢ τέκνων.
Θ. Ταύτης ὁ μόχθος, ὡς λέγεις, θάπτειν πόσιν.
Μ. Ἐν εὐσεβεῖ γοῦν, νόμιμα μὴ κλέπτειν νεκρῶν.
Θ. Ἴτω· πρὸς ἡμῶν, ἄλοχον εὐσεβῆ τρέφειν.
Ἐλθὼν δ' ἐς οἴκους, ἐξελῶ κόσμον νεκρῷ,
Καί σ' οὐ κεναῖσι χερσὶ γῆς ἀποστελω,
Δράσαντα τῇδε πρὸς χάριν· φήμας δέ μοι
Ἐσθλὰς ἐνεγκὼν γ', ἀντὶ τῆς ἀχλαινίας

Ἐσθῆτα λήψῃ, σῖτά τ᾽, ὥστε σ᾽ εἰς πάτραν
Ἐλθεῖν· ἐπεὶ νῦν γ᾽ ἀθλίως ἔχονθ᾽ ὁρῶ.
Σὺ δ᾽, ὦ τάλαινα, μὴ ᾽πὶ τοῖς ἀνηνύτοις
Τρύχου σὺ σαυτήν· Μενέλεως δ᾽ ἔχει πότμον.
Κοὐκ ἂν δύναιτο ζῆν ὁ κατθανὼν πόσις.
Μ. Σὸν ἔργον, ὦ νεᾶνι· τὸν παρόντα μὲν
Στέργειν πόσιν χρὴ, τὸν δὲ μηκέτ᾽ ὄντ᾽ ἐᾷν·
Ἄριστα γάρ σοι ταῦτα πρὸς τὸ τυγχάνον.
Ἢν δ᾽ Ἑλλάδ᾽ ἔλθω, καὶ τύχω σωτηρίας,
Παύσω ψόγου σε τοῦ πρὶν, ἢν γυνὴ γένῃ,
Οἵαν γενέσθαι χρή σε σῷ ξυνευνέτῃ.
Ε. Ἔσται τάδ᾽· οὐδὲ μέμψεται πόσις ποτὲ
Ἡμῖν· σὺ δ᾽ αὐτὸς ἐγγὺς ὢν, ἔσῃ τάδε.
Ἀλλ᾽, ὦ τάλας, εἴσελθε, καὶ λουτρῶν τύχε,
Ἐσθῆτά τ᾽ ἐξάλλαξον· οὐκ ἐς ἀμβολὰς
Εὐεργετήσω σ᾽· εὐμενέστερον γὰρ ἂν
Τῷ φιλτάτῳ μοι Μενέλεῳ τὰ πρόσφορα
Δρώης ἂν, ἡμῶν τυγχάνων, οἵων σε χρῆν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ Α΄.

Χ. Ὀρεία ποτὲ δρομάδι κώλῳ
Μάτηρ θεῶν ἐσύθη
Ἀν᾽ ὑλάεντα νάπη,

Accipies veſtem, et cibum, ut in patriam
Redeas: ſiquidem nunc miſere affectum *te* video.
Tu vero, o miſera, ne inaniter
Crucies te ipſam. Menelaus enim functus eſt fato,
Neque poteſt *iterum* vivere mortuus.
M. Tuum officium *hoc eſt*, o adoleſcentula, praeſentem
Quidem maritum oportet amare, eum vero qui periit,
Omittere: hoc enim tibi optimum *eſt* in praeſenti
Caſu. Quod ſi venero in Graeciam, et fuero ſalvus,
Eximam te priſtino probro, ſi *talis* fueris uxor,
Qualem decet eſſe te erga tuum maritum.
H. Fient haec: nunquam autem maritus culpabit.
Tu vero qui prope ades, ſcies iſta.
Verum, o miſer, intra, et lava *corpus*,
Et muta veſtem: non cunctanter
Benefaciam tibi: *ſic* enim benevolentius chariſſimo
Meo Menelao convenientes *inferias* facies, ſi
Conſequaris a nobis, quae te *conſequi* oportet.

ANTISTROPHICA.

STROPHE I.

C. Montana quondam veloci pede
Mater deorum feſtinavit
Per ſylveſtres ſaltus,

Et fluvialem fluxum aquarum,
Graviterque ſtrepentes fluctus marinos,
Deſiderio amiſſae
Non-nominandae puellae.
Crepitacula vero Bacchica clarum
Sonitum mittentia reſonabant,
Ibat vero ferarum jugalium
Exoſa Dea currum,
Raptam illam rotundis
Choris ex virgineis.
Cum ipſa autem Puellae pernices,
Sagittis quidem Diana,
Haſta vero *Pallas* armata.
Spectans vero ex caeleſtibus,
Aliud fatum decernebat Natus.

ANTISTROPHE I.

Curſoriis autem quando multivagis
Mater a laboribus ceſſavit,
Quaerens invios
Filiae raptus doloſos,
Tranſiit nivoſas
Speculas Nympharum Idaearum:
Projecit autem *ſe* luctu,

Ποτάμιόν τε χεῦμ' ὑδάτων,
Βαρύβρομόν τε κῦμ' ἅλιον,
Πόθῳ τᾶς ἀποιχομένας,
Ἀῤῥήτȣ κȣ́ρας.
Κρόταλα δὲ βρόμια, διαπρύσιον
Ἱέντα κέλαδον, ἀνεβόα,
Θηρῶν ὅτε ζυγίȣς
Ζεύξασα θεὰ σατίναν,
Τὰν ἁρπασθεῖσαν κυκλίων
Χορῶν ἔξω παρθενίων·
Μετὰ κȣρᾶν δ' ἀελλόποδες,
Ἃ μὲν τόξοις Ἄρτεμις,
Ἃ δ' ἔγχει Γοργὼ πάνοπλος·
Αὐγάζων δ' ἐξ οὐρανίων
Ἄλλαν μοῖραν ἔκραινε.

ΑΝΤΙΣΤΡΟΦΗ Α'.

Δρομαίων δ' ὅτε πολυπλανήτων
Μάτηρ ἔπαυσε πόνων,
Μαστεύȣσα πόρους
Θυγατρὸς ἁρπαγὰς δολίȣς,
Χιονοθρέμμονας γ' ἐπέρα-
σ' Ἰδαίαν νυμφᾶν σκοπιάς·
Ῥίπτει δ' ἐν πένθει

Πέτρινα κατὰ δρία πολυνιφέα.
Βροτοῖσι δ' ἄχλοα πεδία γᾶς
Οὐ καρπίζουσ' ἀρότοις,
Λαῶν δὲ φθείρει γένναν.
Ποίμναις δ' οὐχ ἵει θαλερὰς
Βοσκὰς εὐφύλλων ἑλίκων·
Πολέων δ' ἀπέλειπε βίος,
Οὐδ' ἦσαν θεῶ θυσίαι,
Βωμοῖς τ' ἄφλεκτοι πέλανοι·
Πηγάς τ' ἀμπαύει δροσερὰς
Λευκῶν ἐκβαλεῖν ὑδάτων.

ΣΤΡΟΦΗ Β'.

Ἐπεὶ δ' ἔπαυσ' εἰλαπίνας
Θεοῖς, βροτείῳ τε γένει,
Ζεὺς, μειλίσσων στυγίους
Ματρὸς ὀργὰς, ἐννέπει,
Βᾶτε, σεμναὶ Χάριτες,
Ἴτε, τὰν περὶ παρθένῳ
Δηοῖ θυμωσαμένᾳ
Λύπαν ἐξαλλάξατ' ἀλαλᾷ.
Μοῦσαί θ' ὕμνοισι χορὸν,
Χαλκοῦ δ' αὐδὰν χθονίαν,
Τύμπανά τε λάβετε βυρσοτενῆ.

Saxea ſuper teſqua aiveſa,
Mortalibus vero terrae campos virenti gramine
Nudatos non arationibus fructificans.
Populorum genus conſumpſit:
Gregibus vero non emittebat laeta
Pabula frondoſorum ſurculorum:
Urbium vero vita defecit,
Neque erant ſacrificia deorum,
Et liba non incendebantur in aris:
Et prohibebat roſcidis fontibus
Emiſſionem limpidae aquae.

STROPHE 2.

Poſtquam autem ſuſtulit convivia
Diis, humanoque generi,
Jupiter, placans infeſtam
Iram matris, dicit:
Ite, venerandae Gratiae,
Ite, propter filiam
Cereris ſuccenſenti
Moerorem eximite ſonitu.
Et vos hymnis, muſarum grex,
Aeriſque vocem ſubterraneam,
Tympana compacta ex bubula pelle accipite.

Pulcherrima *vero* tunc primum *Deorum*
Riſit Dea Venus,
Et accepit in manus
Tibiam graviter ſonantem,
Delectata modulatione.

ANTISTROPHE 2.

Quae neque fas neque pium *erat*,
Conſecuta es thalamis cruda.
Iram vero incurriſti magnae
Matris, o filia, ſacrificia
Non pie faciens Diis.
Multum certe poſſunt hinnulorum
Maculoſae pelles,
Et hederae frondes circumvolutae,
Ferulas circa ſacras,
Et rhomborum circumacta
Circularis quaſſatio ſublimis,
Et bacchans coma bacchantium,
Et privilegia Deae.
Cujus autem laqueis nunc
Subjecit te, abigere
Pulchritudine aerumnas vales.

IAMBI.

H. Quantum ad res intus aedium, bene eſt, o amicae:

Κάλλιϛα τότε πρῶτα μακάρων
Κύπρις γέλασέ τε θεὰ,
Δέξατό τ' εἰς χέρας
Βαρύβρομον αὐλὸν,
Τερφθεῖσ' ἀλαλαγμῷ.

ΑΝΤΙΣΤΡΟΦΗ Β'.

Ὧν ȣ̓ θέμις, οὔθ' ὅσια,
Ἐπύρωσας ἐν θαλάμοις,
Μῆνιν δ' ἔχεις μεγάλας
Ματρὸς, ὦ παῖ, θυσίας
Οὐ σεβίζȣσα θεᾶς.
Μέγα τοι δύνανται νεβρῶν
Παμποίκιλοι ϛολίδες,
Κισσῷ τε ϛεφθεῖσα χλόα,
Νάρθηκας ἐς ἱερȣ̀ς,
Ῥόμβῳ θ' ἑλισσομένα
Κύκλιος ἔνοσις αἰθερία,
Βακχεύȣσά τ' ἔθειρα Βρομίων,
Καὶ παννυχίδες θεᾶς.
Εὖ δέ νιν ἄμασιν
Ὑπέρβαλε σελάνα.
Μορφᾷ μόνον ηὔχεις.

ΙΑΜΒΟΙ.

Ε. Τὰ μὲν κατ' οἴκȣς εὐτυχȣ̃μεν, ὦ φίλαι·

Ἡ γὰρ συνεκκλέπτουσα Πρωτέως κόρη,
Πόσιν παρόντα τὸν ἐμὸν ἱστορημένη,
Οὐκ εἶπ᾽ ἀδελφῷ· κατθανόντα δ᾽ ἐν χθονὶ
Οὔ φησιν αὐγὰς εἰσορᾷν, ἐμὴν χάριν.
Κάλλιστα δῆτ᾽ ἀνήρπασεν ἐν τύχῃ πόσις·
Ἃ γὰρ καθήσειν ὅπλ᾽ ἔμελλον εἰς ἅλα,
Ταῦτ᾽, ἐμβαλὼν πόρπακι γενναίαν χέρα,
Αὐτὸς κομίζει, δόρυ τε δεξιᾷ λαβὼν,
Ὡς τῷ θανόντι χάριτα δὴ συνεκπονῶν.
Προὔργου δ᾽ ἐς ἀλκὴν σῶμ᾽ ὅπλοις ἠσκήσατο,
Ὡς βαρβάρων τρόπαια μυρίων χερὶ
Θήσων, ὅταν κωπῆρες εἰσβῶμεν σκάφος.
Πέπλους δ᾽ ἀμείψας ἀντὶ ναυφθόρου στολῆς,
Ἃ 'γώ νιν ἐξήσκησα, καὶ λουτροῖς χρόα
Ἔδωκα, χρόνια νίπτρα ποταμίας δρόσου.
Ἀλλ᾽, ἐκπερᾷ γὰρ δωμάτων ὁ τοὺς ἐμοὺς
Γάμους ἑτοίμους ἐν χεροῖν ἔχειν δοκῶν·
Σιγητέον μοι· καί σε προσποιούμεθα
Εὔνουν, κρατεῖν τε στόματος· ἢν δυνώμεθα,
Σωθέντες αὐτοὶ, καί σε συσσῶσαί ποτε.
Θ. Χωρεῖτ᾽ ἐφεξῆς, ὡς ἔταξεν ὁ ξένος,
Δμῶες, φέροντες ἐνάλια κτερίσματα.
Ἑλένη, σὺ δ᾽, ἤν σοι μὴ κακῶς δόξω λέγειν,

Nam Protei filia, noſtrum dolum adjuvans,
De meo marito praeſente interrogata *a fratre*,
Non dixit fratri. Mortuum vero,
Dicit non in terra lucem intueri, *in meam gratiam*.
Pulcherrime autem arripuit mente maritus omnia:
Nam arma, quae demiſſura eram in mare,
Haec, immiſſa robuſta manu in ſcuti manubrium,
Ipſe portat, haſtamque dextra corripuit, tanquam
Defuncto gratas exequias jam mecum peracturus;
Commode vero corpus ad pugnam armis inſtruxit
Ut de barbaris innumeris trophaea manu
Erecturus, quum navem intraverimus remis
Inſtructam: peplos vero mutans pro naufraga veſte,
Ego ipſum exornavi, et balneis corpus *ejus*
Dedi, ſera lavacra fluvialis roris:
Sed, egreditur enim e domo, quo meas
Nuptias paratas ſe in manibus habere putat,
Tacendum *eſt* mihi. Te vero, obteſtamur,
Benevolam, et premere *tuum* os, ſi poſſimus
Servati ipſi, te quoque tandem ſervare.
T. Procedite ordine, et ordinavit hoſpes,
Miniſtri, ferentes marinas inferias.
Tu vero, Helena, ſi tibi non videor male loqui,

Obtempera, mane hic. Idem enim et praeſens,
Et ſi non adſis, facies marito tuo. Metuo enim
Tibi, ne quod deſiderium *te* corripiens, impellat *te*
Ad demittendum corpus in fluctus marinos,
Prioris mariti *amore* perculſam:
Ipſum enim, licet non praeſentem, tamen nimis
Luges. H. O inclyte nobis marite, neceſſe eſt
Primum thalamum, et conſuetudinem nuptialem
Honore afficere. Ego enim quod amo maritum,
Etiam cum *eo* mori vellem: ſed quaenam illi utilitas,
Si cum *eo* mortuo ſimul morerer? ſine igitur me
Ipſam proficiſci, et inferias dare mortuo.
Dii vero tibi dent, qualia ego cupio,
Et huic hoſpiti, quod nos adjuvet in hac re.
Habebis autem me *talem*, qualem te convenit in
Aedibus habere Uxorem, quandoquidem Menelao
Benefacis, et mihi. Haec enim non nemini alte
Mentem ſubeunt. Qui vero det navem, in qua
Abducamus haec, manda *alicui*, ut integram gratiam
Accipiam. T. Vade tu, et navem his quinquaginta
Remorum Sidoniam da, et remorum praefectos.
H. Annon ille navem gubernabit, qui curat inferias?
T. Oportet nautas meos inprimis huic parere.

Πείθου, μέν' αὐτοῦ· ταυτὰ γὰρ, παροῦσά τε,
Πράξεις τὸν ἄνδρα τὸν σὸν, ἤν τε μὴ παρῇς.
Δέδοικα γάρ σοι μή τις ἐμπεσὼν πόθος,
Πείσῃ μεθεῖναι σῶμ' ἐς οἶδμα πόντιον,
Τοῦ πρόσθεν ἀνδρὸς χάρισιν ἐκπεπληγμένην.
Ἄγαν γὰρ αὐτὸν οὐ παρόνθ' ὅμως στένεις.
Ε. Ὦ κλεινὸς ἡμῖν πόσις, ἀναγκαίως ἔχει
Τὰ πρῶτα λέκτρα, νυμφικάς θ' ὁμιλίας,
Τιμᾷν· ἐγὼ δὲ διὰ τὸ μὲν στέργειν πόσιν,
Καὶ ξυνθάνοιμ' ἄν· ἀλλὰ τίς κείνῳ χάρις,
Ξὺν κατθανόντι κατθανεῖν; ἔα δέ με
Αὐτὴν μολοῦσαν, ἐντάφια δοῦναι νεκρῷ.
Θεοὶ δὲ σοί τε δοῖεν, οἷ' ἐγὼ θέλω,
Καὶ τῷ ξένῳ τῷδ', ὅτι συνεκπονεῖ τάδε.
Ἕξεις δέ μ', οἵαν χρῆν ἔχειν ἐν δώμασιν
Γυναῖκ', ἐπειδὴ Μενέλεων εὐεργετεῖς,
Κἄμ'· ἔρχεται γὰρ δή τιν' εἰς τύχην τάδε·
Ὅστις δὲ δώσει ναῦν, ἐν ᾗ τάδ' ἄξομεν,
Πρόσταξον, ὡς ἂν τὴν χάριν πλήρη λάβω.
Θ. Χώρει σὺ, καὶ ναῦν τοῖσδε πεντηκόντορον
Σιδωνίαν δὸς, καὶ 'ρετμῶν ἐπιστάτας.
Ε. Οὐκοῦν ὅδ' ἄρξει ναὸς, ὃς κοσμεῖ τάφον;
Θ. Μάλιστ'· ἀκούειν τοῦδε χρὴν ναύτας ἐμούς.

Ε. Αὖθις κέλευσον, ἵνα σαφῶς μάθωσί σου.
Θ. Αὖθις κελεύω, καὶ τρίτον γ', εἴ σοι φίλον.
Ε. Ὄναιο, κἀγὼ τῶν ἐμῶν βουλευμάτων.
Θ. Μὴ νῦν ἄγαν σὸν δάκρυσιν ἐκτήξῃς χρόα.
Ε. Ἥδ' ἡμέρα σοι τὴν ἐμὴν δείξει χάριν.
Θ. Τὰ τῶν θανόντων, οὐδὲν, ἀλλ' ἁπλῶς πόνος.
Ε. Ἔστιν τι κἀκεῖ, κἀνθάδ', ὧν ἐγὼ λέγω;
Θ. Οὐδὲν κακίω Μενέλεώ μ' ἕξεις πόσιν.
Ε. Οὐδὲν σὺ μεμπτός· τῆς τύχης μέλει μόνον.
Θ. Ἐν σοὶ τόδ', ἢν σὴν εἰς ἔμ' εὔνοιαν δίδως.
Ε. Οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.
Θ. Βούλει ξυνεργῶν αὐτὸς ἐκπέμψω στόλον;
Ε. Ἥκιστα, μὴ δούλευε σοῖς δούλοις ἄναξ.
Θ. Ἀλλ' εἶα· τοὺς μὲν Πελοπιδῶν ἐῶ νόμους.
Καθαρὰ γὰρ ἡμῖν δώματ'· οὐ γὰρ ἐνθάδε.
Ψυχὴν ἀφῆκε Μενέλεως· ἴτω δέ τις,
Φράσων ὑπάρχοις τοῖς ἐμοῖς, φέρειν γάμων
Ἀγάλματ' οἴκους εἰς ἐμούς· πᾶσαν δὲ χρὴν
Γαῖαν βοᾶσθαι μακαρίαις ὑμνῳδίαις
Ὑμέναιον Ἑλένης, κἀμὸν, ὡς ζηλωτὸς ᾖ.
Σὺ δ', ὦ ξέν', ἐλθὼν πελαγίους ἐς ἀγκάλας,
Τῷ τῆσδε, πρίν ποτ' ὄντι, δοὺς πόσει τάδε,
Πάλιν πρὸς οἴκους σπεῦδ', ἐμὴν δάμαρτ' ἔχων,

H. Jube iterum, ut clare intelligant te.
T. Iterum jubeo, et tertio, ſi tibi placet.
H. Bene ſit tibi, et mihi propter mea conſilia.
T. Ne nunc nimium lacrymis conficias tuum corpus.
H. Haec dies tibi meam gratiam indicabit.
T. *Res* mortuorum nihil *ſunt*, ſed tantum cinis.
H. Eſt aliquid et illic, et hic, *eorum* quae diligo.
T. Non habebis me deteriorem maritum Menelao.
H. Tu non es culpandus: eventu tantum opus mihi
Eſt. T. In te *ſitum eſt* hoc, ſi mihi tuam benevolentiam
Praeſtiteris. H. Non nunc primum diſcemus amare
Amicos. T. Viſne ut ego *vos* adjuvans, navem una
Deducam? H. Minime, ne ſervias tuis ſervis, o rex.
T. Age vero Pelopidarum miſſos faciam ritus:
Purae enim *ſunt* nobis aedes. Non enim hic
Animam efflavit Menelaus. Eat autem aliquis
Qui dicat meis ſatrapis, ut ferant nuptiarum
Donaria in domum meam. Oportet autem totam
Terram celebrare beatis hymnorum cantionibus
Hymaeneum Helenae, et meum, ut ſit ſuſpiciendus.
Tu vero, o hoſpes, profectus ad marinas ulnas,
Ubi dederis haec priori hujus marito, rurſus
Ad aedes propera meam uxorem tecum habens,

Ut hujus nuptiis mecum celebratis,
Proficiſcaris ad *tuas* aedes, aut *hic* manens ſis beatus.
M. O Jupiter, pater et ſapiens Deus vocaris,
Aſpice nos, et libera ex malis,
Trahentes vero nos fortunas in adverſum collem,
Diligenter adjuva: et ſi *nos* attigeris ſumma tantum
Manu, veniemus ad eam fortunam, ad quam venire
Volumus. Satis enim *eſt* laborum, quos hactenus
Pertulimus. Meruiſti, o Dii mei, ut multa *de* me
Audiatis inamaena, et triſtia: non autem debeo
ſemper infelix eſſe, ſed
Recto pede incedere. Unum vero mihi beneficium
Si dederitis, in poſterum felicem me facietis.

ANTISTROPHICA.

STROPHE I.

C. O Phoeniſſa, Sidonia,
Accelera, Reme, aeſtus matrem
Remigationem, o chara
Praeſultrix pulchras choreas exercentium
Delphinum, quando ventis
Mare modice movetur,
Et *cum* glauca filia Ponti
Galenea haec dixerit:

Ὡς τὰς γάμους τὰς τῆσδε συνδαίσας ἐμοὶ,
Στέλλῃ πρὸς οἴκους, ἢ μένων εὐδαιμονῇς.
Μ. Ὦ Ζεῦ, πατήρ τε, καὶ σοφὸς κλήζῃ θεὸς,
Βλέψον πρὸς ἡμᾶς, καὶ μετάστησον κακῶν.
Ἕλκουσι δ᾽ ἡμῖν πρὸς λύπας τὰς συμφορὰς,
Σπουδῇ συνάψαι· κἂν ἄκρᾳ θίγῃς χερὶ,
Ἥξομεν, ἵν᾽ ἐλθεῖν βουλόμεσθα τῆς τύχης.
Ἅλις δὲ μόχθων, οὓς ἐμοχθοῦμεν πάρος.
Κέκλησθέ μοι θεοὶ, πολλὰ χρήστ᾽ ἐμοῦ κλύειν,
Καὶ λυπρά γ᾽· ὀφείλω δ᾽ οὐκ ἀεὶ πράσσειν
κακῶς,
Ὀρθῷ δὲ βῆναι ποδί· μίαν δέ μοι χάριν
Δόντες, τὸ λοιπὸν εὐτυχῆ με θήσετε.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ Α'.

Χ. Φοίνισσα Σιδωνιὰς ὦ
Ταχεῖα κώπα, ῥοθίοισι μήτηρ
Εἰρεσία φίλα,
Χοραγὲ τῶν καλλιχόρων
Δελφίνων, ὅταν αὔραις
Πέλαγος νήνεμον ᾖ·
Γλαυκὰ δὲ πόντου θυγάτηρ,
Γαλάνεια, τάδ᾽ εἴπῃ·

Κατὰ μὲν ἱστία πετάσατ' αὔραις
Λιπόντες ἐναλίαις,
Λάζετε δ' εἰλατίνας πλάτας,
Ὦ ναῦται, ἰὼ ναῦται,
Πέμποντες εὐλιμένους
Περσείων οἴκων Ἑλέναν ἐπ' ἀκτάς.

ΑΝΤΙΣΤΡΟΦΗ Α'.

Ἦπου κόρας ἂν ποταμοῦ
Παρ' οἶδμα Λευκιππίδας, ἢ πρὸ ναοῦ
Παλλάδος ἂν λάβοις,
Χρόνῳ ξυνελθοῦσα χοροῖς,
Ἢ κώμοις Ὑακίνθου,
Νύχιον εἰς εὐφρόναν·
Ὃν ἐξαμιλλησάμενος
Τροχῷ τέρμονι δίσκου
Ἔκανε Φοῖβος, τᾷ Λακαίνᾳ γᾷ
Βούθυτον ἡμέραν
Ὁ Διὸς εἶπε σέβειν γόνος
Μόσχον θ' ἂν λίποιτ' οἴκοις,
* * * * *
Ἃς οὔπω πεῦκαι πρὸ γάμων ἔλαμψαν.

ΣΤΡΟΦΗ Β'.

Δι' ἀέρος εἰ ποτανοὶ

Vale quidem expandite, ventis ea
Relinquentes marinis.
Accipite vero abiegnos remos,
O nautae: io nautae,
Mittentes portuoſum
Ad littus Perſaeae domus Helenam.

ANTISTROPHE I.

Forte quidem puellas fluvii
Ad undam Leucippidas, aut ante templum
Minervae inveniet
Sero ſe immiſcens choreis,
Et Hyacinthi feſtis,
Nocturnum per gaudium:
Quem violenter impellens
Diſcum ad fines gymnaſii
Interfecit Apollo: unde terrae Laconiae
Solennem ſacrorum diem
Fillus Jovis juſſit celebrare:
Puellamque, quam reliquerant, aedibus,
[Florentem in patriis]
Cui nondum faces accenſae fuerint ad nuptias.

STROPHE 2.

Utinam per aërem volucres

Eſſemus, quemadmodum Libycae
Aves, congregatae,
Relicta hyberna tempeſtate,
Redeunt antiquiſſimae
Fiſtulae obtemperantes
Ductoris, quando ſiccos
Ad campos fructiferos terrae
Avolans ſtrepit.
O volucres longis-inſignes-collis,
Conſortes nubium curſus,
Ite Pleiades ſub medias,
Et nocturnum Orionem,
Et nunciate nuncium,
Ad Eurotam ſidentes,
Quod Menelaus, Dardani
Urbe capta, domum ſit venturus.

ANTISTROPHE 2.

Venite tandem equeſtri curru,
Per aërem invecti,
Fili Tyndaridae,
Micantium aſtrorum ſub turbinibus,
Qui habitatis in coelo,
Servatores Helenae,

Γενοίμεθα Λίβυες
Οἰωνοὶ, στολάδες,
Ὄμβρον λιποῦσαι χειμέριον,
Νίσσονται, πρεσβυτάτᾳ
Σύριγγι πειθόμεναι
Ποιμένος, ὃς ἄβροχα
Πεδία, καρποφόρα τε γᾶς,
Ἐπιπετόμενος ἰαχεῖ.
Ὦ ποταναὶ δολιχαύχενες,
Σύννομοι νεφέων δρόμου,
Βᾶτε Πελειάδας ὑπὸ μέσας,
Ὠρίωνά τ' ἐννύχιον,
Καρύξατ' ἀγγελίαν,
Εὐρώταν ἐφεζόμεναι,
Μενέλαος ὅτι, Δαρδάνου
Πόλιν ἑλὼν, δόμον ἥξει.

ΑΝΤΙΣΤΡΟΦΗ Β'.

Μόλοιτέ ποθ' ἵππειον ἅρμα
Δι' αἰθέρος ἱέμενοι
Παῖδες Τυνδαρίδαι,
Λαμπρῶν ἄστρων ὑπ' ἀέλλαισιν,
Οἳ ναίετ' οὐράνιοι
Σωτῆρε τᾶς Ἑλένας,

Γλαυκὸν ἐπ' οἶδμ' ἅλιον,
Κυανόχροά τε κυμάτων
Ῥόθια πολιὰ θαλάσσας,
Ναύταις εὐαεῖς ἀνέμων
Πέμποντες διόθεν πνοάς.
Δύσκλειαν ἀπὸ συγγόνου
Βάλλετε βαρβάρων λεχέων,
Ἃν Ἰδαίων ἐρίδων
Πονηθεῖσ' ἐκτήσατο, τὰν
Οὐκ ἐλθοῦσαν Ἰλίου
Φοιβείας ἐπὶ πύργους.

ΙΑΜΒΟΙ.

Α. Ἄναξ, τὰ κάκιστ' ἐν δόμοις εὑρήκαμεν,
Ὡς καίν' ἀκούσῃ πήματ' ἐξ ἐμοῦ τάχα.
Θ. Τί δ' ἐστιν; Α. Ἄλλης ἐκπονεῖ μνηστεύματα
Γυναικός· Ἑλένη γὰρ βέβηκ' ἔξω χθονός.
Θ. Πτεροῖσιν ἀρθεῖσ', ἢ πεδοστιβεῖ ποδί;
Α. Μενέλαος αὐτὴν ἐκπεπόρθμευται χθονὸς,
Ὃς αὐτὸς αὑτὸν ἦλθεν ἀγγέλλων θανεῖν.
Θ. Ὦ δεινὰ λέξας· τίς δέ νιν ναυκληρία
Ἐκ τῆσδ' ἀπῆρε χθονός; ἄπιστα γὰρ λέγεις.
Α. Ἥν γε ξένῳ δίδως σύ· τοὺς τε σοὺς ἔχων
Ναύτας βέβηκεν, ὡς ἂν ἐν βραχεῖ μάθῃς.

In glaucam marinam undam,
Caeruleoſque fluctuum
Impetuoſos canos maris fluxus,
Nautis proſperos ventorum
Flatus a Jove mittentes,
A ſorore infamiam
Barbarici thalami repellite,
Quam *ob* contentionem Idaeam
Accepit, terram
Quamvis non iverit Ilii,
Phoebeas ad turres.

IAMBI.

N. O Rex, commodiſſime Te in aedibus invenimus,
Ut nova mala ex me continuo audias.
T. Quid vero eſt? N. Alius tibi quaere connubia
Mulieris, Helena enim abiit ex *hac* terra.
T. Aliſne ſublata, an ſolum calcante pede?
N. Menelaus avexit eam navi ex *hac* terra,
Qui ipſe venit, nuncians ſe mortuum eſſe.
T. O quam mira narras! ſed quae navis gubernatio
Eam avexit ex hac terra? incredibilia enim dicis.
N. Quam tu dediſti hoſpiti; tuoſque habens
Nautas abiit, ut *rem* brevi intelligas.

T. Quomodo? ſcire cupio. Non enim intra ſpem
Stetit, unam ſuperiorem fuiſſe
Tot nautis, cum quibus tu miſſus es.
N. Poſtquam relicta regia hac domo
Filia Jovis ad mare deducta eſt,
Aſtutiſſime, mollem pedem ponens, lugebat
Maritum prope praeſentem, et non mortuum.
Ut autem venimus *ad* tuorum navalium-ſeptum,
Detraximus navem Sidoniam eximiam,
Tranſtrorum et remorum quinquaginta,
Dimenſiones habentem. Labor autem labori
Succedebat. Alius enim malum, alius vero remum
Collocabat, et tonſam tentabat: et alba vela in
Navi erant: gubernaculaque *loris* immittebantur.
In hoc autem labore, nempe hoc ipſum opperientes,
Viri Graeci, Menelao comites navigationis,
Acceſſerunt ad littus, veſtititi *naufragis*
Veſtibus, ſpecioſi quidem, ſed aſpectu ſqualidi.
Cum autem Atrei filius ipſos adeſſe vidiſſet,
Alloquutus eſt, doloſum luctum prae ſe ferens:
O miſeri, quomodo ex qua navi tandem
Graeca venitis colliſa ſcapha?
Num una ſepelietis filium Atrei mortuum,

Θ. Πῶς; εἰδέναι πρόθυμος· οὐ γὰρ ἐλπίδων
Εἴσω βέβηκα, μίαν ὑπερδραμεῖν χέρα
Τοσούσδε ναύτας, ὧν ἀπεστάλης μέτα.
Α. Ἐπεὶ, λιποῦσα τούσδε βασιλείους δόμους,
Ἡ τοῦ Διὸς παῖς πρὸς θάλασσαν ἐστάλη,
Σοφώταθ' ἁβρὸν πόδα τιθεῖσ', ἀνέστενε
Πόσιν πέλας παρόντα, κοὐ τεθνηκότα.
Ὡς δ' ἤλθομεν σῶν περίβολον νεωρίων,
Σιδωνίαν ναῦν πρωτόπλουν καθείλκομεν,
Ζυγῶν τε πεντήκοντα, καὶ 'ρετμῶν μέτρα
Ἔχουσαν· ἔργου δ' ἔργον ἐξημείβετο.
Ὁ μὲν γὰρ ἱστὸν, ὁ δὲ πλάτην, καθίστατο,
Ταρσόν τε χειρί· λευκάθ' ἱστί' εἰς ἓν ἦν,
Πηδάλιά τε ζεύγλαισι παρακαθίετο.
Κἂν τῷδε μόχθῳ τοῦτ' ἄρα σκοπούμενοι,
Ἕλληνες ἄνδρες Μενέλεῳ ξυνέμποροι,
Προσῆλθον ἀκταῖς, ναυφθόροις ἠσθημένοι
Πέπλοισιν, εὐειδεῖς μὲν, αὐχμηροὶ δ' ὁρᾶν,
Ἰδὼν δέ νιν παρόντας Ἀτρέως γόνος,
Προσεῖπε, δόλιον οἶκτον εἰς μέσον φέρων·
Ὦ τλήμονες, πῶς, ἐκ τίνος νεώς ποτε
Ἀχαιΐδος θραύσαντες ἥκετε σκάφος;
Ἆρ' Ἀτρέως παῖδ' ὀλόμενον συνθάπτετε,

Ὃν Τυνδαρὶς παῖς ἤδ' ἀπόντα κενοταφεῖ;
Οἵ δ', ἐκβαλόντες δάκρυα, ποιητῷ τρόπῳ,
Εἰς ναῦν ἐχώρουν Μενέλεῳ, ποντίσματα
Φέροντες· ἡμῖν δ' ἦν μὲν ἤδ' ὑποψία,
Λόγος δ' ἐν ἀλλήλοισι, τῶν ἐπεισβατῶν
Ὡς πλῆθος εἴη· διεσιωπῶμεν δ' ὅμως,
Τοὺς σοὺς λόγους σώζοντες· ἄρχειν γὰρ νεὼς
Ξένον κελεύσας, πάντα συνέχεας τάδε.
Καὶ τἄλλα μὲν δὴ ῥαδίως εἴσω νεὼς
Ἐθέμεσθα κουφίζοντα· ταύρειος δὲ ποὺς
Οὐκ ἤθελ' ὀρθὸς σανίδα προσβῆναι κάτα,
Ἀλλ' ἐξεβρυχᾶτ', ὄμμ' ἀναστρέφων κύκλῳ,
Κυρτῶν τε νῶτα, κεἰς κέρας παρεμβλέπων,
Μὴ θιγγάνειν ἀπεῖργεν· ὁ δ' Ἑλένης πόσις
Ἐκάλεσεν· ὦ πέρσαντες Ἰλίου πόλιν,
Οὐκ εἶ' ἀναρπάσαντες Ἑλλήνων νόμῳ
Νεανίαις ὤμοισι ταύρειον δέμας,
Εἰς πρῶραν ἐμβαλεῖτε; φάσγανόν θ' ἅμα
Πρόχειρον ὤσει, σφάγια τῷ τεθνηκότι;
Οἱ δ', εἰς κέλευσμ' ἐλθόντες, ἐξανήρπασαν
Ταῦρον, φέροντές τ' εἰσέθεντο σέλματα.
Μονάμπυκον δὲ Μενέλεως ψήχων δέρην,
Μέτωπά τ', ἐξέπεισεν εἰσβῆναι δόρυ.

Quem haec filia Tyndari abſentem ſepelit ?
Illi vero, emittentes lacrymas per ſimulationem,
In navem iverunt, Menelao res mergendas in mare
Ferentes: nobis autem haec quidem erant ſuſpecta:
Et de hoc inter nos colloquebamur, vectorum
Quod *magna* multitudo eſſet: ſed tamen tacebamus,
Servantes tua mandata: praeeſſe enim navi
Jubens hospitem, conturbaſti haec omnia.
Et alia quidem omnia jam facile in navim
Impoſueramus laete incedentia; taurinus vero pes
Non volebat *ad navis* tabulam accedere, rectus
Caput, ſed mugiebat, circumagitans oculos,
Et curvans tergum, et oblique tuens in cornua,
Arcebat nos, ne attingeremus. Ibi vero maritus
Helenae vocavit: O ſocii, qui Trojam evertiſtis,
Non eja corripientes more Graecorum
Juvenilibus humeris taurinum corpus
In proram conjicietis, et ſimul enſem
Paratum ſervat, victimam mortuo?
Illi vero, venientes ad *hanc* adhortationem,
Corripuerunt taurum, et ferentes impoſuerunt in
Tabulas navis: Menelaus vero demulcens collum
Equinum, et frontem, effecit ut intraret navim.

Tandem vero poſtquam navis recepit,
Implens ſcalas formoſo pede,
Helena, conſedit in mediis tranſtris, et, qui
Verbis non amplius erat, Menelaus prope *eam*
Alii vero *in* dextro pariete, et totidem in ſiniſtro,
Vir apud virum ſedebant, ſub veſtibus gladios
Abditos habentes: tum vero undae impletae ſunt
Clamore, ut audivimus celeuſtae vocem,
Cum autem non admodum procul eſſemus a terra,
Neque prope, ſic interrogavit cuſtos gubernaculi:
An adhuc ulterius, o hoſpes, an *vero* recte habet
Res, navigabimus? nam gubernatio navis mihi eſt
Curae. Ille vero dixit: ſatis *eſt* mihi: et dextra
Arripiens gladium ad proram contendit, et ad
Jugulum taurinum ſtans, nullius quidem mortui
Mentionem faciens, ſed ſecans guttur, precatus eſt:
O qui habitas in mari, marine Neptune, et caſtae filiae
Nerei, ſervate me ad littus Nauplium et conjugem
Incolumen ex hac *terra*. Fluxus autem ſanguinis
Saliebant in aquam, ſecundi curſus omen hoſpiti.
Et aliquis hoc dixit: doloſa *eſt* haec navigatio,
Retro navigemus domum; celeuſtam age tu:
Tu vero verte gubernaculum. Sed a caede tauri

Τέλος δ', ἐπειδὴ ναῦς τὰ πάντ' ἐδέξατο,
Πλήσασα κλιμακτῆρας εὐσφύρȣ ποδὸς,
Ἑλένη, καθέζετ' ἐν μέσοις ἑδωλίοις,
Ὅ, τ' ȣ̓κ ἔτ' ὢν λόγοισι Μενέλεως πέλας.
Ἄλλοι δὲ τοίχȣς δεξιȣ̀ς, λαιȣ̀ς τ' ἴσοι,
Ἀνὴρ παρ' ἄνδρ' ἕζοντο, ὑφ' εἵμασι ξίφη
Λαθραῖ' ἔχοντες, ὄρθιά τ' ἐξεπίμπλατο
Βοῆς κελεύθȣ φθέγμαθ', ὡς ἠκȣ́σαμεν.
Ἐπεὶ δὲ γαίας ἦμεν οὔτ' ἄγαν πρόσω,
Οὔτ' ἐγγὺς, οὕτως ἤρετ' οἰάκων φύλαξ·
Ἔτ', ὦ ξέν', εἰς τὸ πρόσθεν, ἢ καλῶς ἔχει,
Πλεύσωμεν; ἀρχαὶ γὰρ νεὼς μέλȣσί μοι.
Ὁ δ' εἶπ', ἅλις μοι· δεξιᾷ δ' ἑλὼν ξίφος,
Εἰς πρῶραν εἷρπε· κἀπὶ ταυρείῳ σφαγῇ
Σταθεὶς, νεκρῶν μὲν ȣ̓δενὸς μνήμην ἔχων,
Τέμνων δὲ λαιμὸν, ηὔχετ'· ὦ ναίων ἅλα,
Πόντιε Πόσειδον, Νηρέως θ' ἁγναὶ κόραι,
Σώσατέ μ' ἐπ' ἀκτὰς Ναυπλίας, δάμαρτά τε
Ἄσυλον ἐκ γῆς· αἵματος δ' ἀπορροαὶ
Ἐς οἶδμ' ἐσηκόντιζον οὔρια ξένῳ.
Καί τις τόδ' εἶπε, δόλιος ἡ ναυκληρία·
Πάλιν πλέωμεν Ναξίαν; κέλευε σύ.
Σὺ δὲ στρέφ' οἴακ'· ἐκ δὲ ταυρείȣ φόνȣ

Ἀτρέως σταθεὶς παῖς, ἀνεβόησε συμμάχους·
Τί μέλλετ', ὦ γῆς Ἑλλάδος λωτίσματα,
Σφάζειν, φονεύειν βαρβάρους, νεώς τ' ἄπο,
Ῥίπτειν ἐς οἶδμα; ναυάταις δὲ τοῖσι σοῖς
Βοᾷ κελευστὴς τὴν ἐναντίαν ὄπα.
Οὐκ εἶ'; ὁ μέν τις λοῖσθον αἴρεται δόρυ,
Ὁ δὲ, ζυγ' ἄξας, ὁ δ', ἀφελὼν σκαλμοῦ πλάτην,
Καθαιματώσει κρᾶτα πολεμίων ξένων;
Ὀρθοὶ δ' ἀνῇξαν πάντες, οἱ μὲν ἐν χεροῖν
Κορμοὺς ἔχοντες ναυτικούς, οἱ δὲ ξίφη.
Φόνῳ δὲ ναῦς ἐρρεῖτο· παρακέλευσμα δ' ἦν
Πρύμνηθεν Ἑλένης· ποῦ τὸ Τρωϊκὸν κλέος;
Δείξατε πρὸς ἄνδρας βαρβάρους· σπουδῆς δ' ὕπο
Ἔπιπτον· οἱ δ' ὠρθοῦντο, τοὺς δὲ κειμένους
Νεκροὺς ἂν εἶδες· Μενέλεως δ', ἔχων ὅπλα,
Ὅποι νοσοῖεν ξύμμαχοι κατασκοπῶν,
Ταύτῃ προσῆγε χειρὶ δεξιᾷ ξίφος,
Ὥστ' ἐκκολυμβᾶν ναός· ἠρήμωσε δὲ
Σῶν ναυβάτων ἐρέτμ'· ἐπ' οἰάκων δὲ βὰς,
Ἄναξ, ἐς Ἑλλάδ' εἶπεν εὐθύνειν δόρυ.
Οἱ δ' ἱστὸν ἦρον· οὔριαι δ' ἧκον πνοαί·
Βεβᾶσι δ' ἐκ γῆς· διαφυγὼν δ' ἐγὼ φόνον,
Καθῆκ' ἐμαυτὸν εἰς ἅλ', ἄγκυραν πάρα.

Ubi ſtetit, filius Atrei, vocavit *ſuos* ſocios:
Quid cunctamini, o flores Graeciae,
Jugulare, mactare barbaros, e navi
Abjicere in aquam? tuis vero nautis
Noſter praefectus clamat contrariam vocem.
Nonne alius quidem pro haſta contum corripiet,
Alius vero frangens jugum, alius auferens remum a
Scalmo cruentabit caput hominum peregrinorum?
Omnes autem recti conſurrexerunt, illi quidem *i. e.*
Ægyptii, in manibus perticas nauticas. hi vero *i. e.*
Graeci, gladios habentes. Caede vero navis fluebat,
Et erat adhoratio Helenae ex puppi: ubi *eſt* gloria
Trojana? oſtendite erga barbaros homines. Prae
Feſtinatione vero cadebant *alii*, qui vero erigebantur,
Jacentes illico hos mortuos vidiſſes. Menelaus vero
Habens arma, ſpeculans ubi laborarent ſocii,
Eo manu dextra admovebat gladium,
Ita ut praecipitarentur *noſtri* e navi, nudavitque
Remos tuis nautis: inde vero ad gubernacula
Progreſſus rex, juſſit in Graeciam dirigere navim.
Illi vero tollebant malum, et venerunt ſecundi
Venti, et ſic abierunt e terra. Ego vero effugiens
Necem, demiſi me in mare juxta anchoram.

Laborantem vero jam me quidem piſcator
Recepit, et in terram expoſuit, ut tibi
Nunciarem haec. Diffidentia autem prudenti
Nihil eſt utilius hominibus.

C. Nunquam putaſſem, neque te, neque nos fallere
Potuiſſe Menelaum, o rex, ut fefellit praeſens.

TROCHAEI.

T. O me miſerum deceptum muliebribus artificiis!
Aufugerunt mihi nuptiae. Et ſi poſſet capi navis
Perſequendo, cito laborans reciperem hoſpites.
Nunc igitur ulciſcar ſororem, quae me prodidit, quae
Videns Menelaum in aedibus, non indicavit mihi:
Nunquam enim virum alium decipiet vaticiniis.

C. Heus tu, quo fers pedem, o domine, ad quam caedem?

T. Quo me jus jubet: quare diſcedite e medio.

C. Non dimittam tuam veſtem: *ad* magna enim mala feſtinas.

T. An tu domino imperabis, cum ſervus ſis?

C. Sum enim benevola.

T. Haud mihi ſaltem, niſi me dimittis. C. Te ſane non dimittemus.

Ἤδη δὲ κάμνονθ' ὁρμιὰν τείνων μέ τις
Ἀνείλετ', εἰς δὲ γαῖαν ἐξέβησέ σοι
Τάδ' ἀγγελοῦντα· σώφρονος δ' ἀπιστίας
Οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς.
Χ. Οὐκ ἄν ποτ' ηὔχουν οὔτε σ', οὔθ' ἡμᾶς, λαθεῖν
Μενέλαον, ὦ 'ναξ, ὡς ἐλάνθανεν παρών.

ΤΡΟΧΑΙΟΙ.

Θ. Ὦ γυναικείαις τέχναισιν αἱρεθεὶς ἐγὼ τάλας·
Ἐκπεφεύγασιν γάμοι με· κεἰ μὲν ἦν ἁλώσιμος
Ναῦς διώγμασιν, πονήσας εἷλον ἂν τάχα ξένους.
Νῦν δὲ τὴν προδοῦσαν ἡμᾶς τισόμεσθα σύγγονον,
Ἥτις, ἐν δόμοις ὁρῶσα Μενέλεων, οὐκ εἶπέ μοι.
Τοιγὰρ οὔποτ' ἄλλον ἄνδρα ψεύσεται μαντεύμασιν.
Χ. Οὗτος ὦ, ποῖ σὸν πόδ' αἴρεις, δέσποτ'; εἰς ποῖον φόνον;
Θ. Οἷπερ ἡ δίκη κελεύει μ': ἀλλ' ἀφίστασθ' ἐκποδών.
Χ. Οὐκ ἀφήσομαι πέπλων σῶν· μεγάλα γὰρ σπεύδεις κακά.
Θ. Ἀλλὰ δοσποτῶν κρατήσεις, δοῦλος ὤν; Χ. Φρονῶ γὰρ εὖ.
Θ. Οὐκ ἐμοί γ', εἰ μή μ' ἐάσεις. Χ. Οὐ μὲν οὖν σ' ἐάσομεν.

Θ. Σύγγονον κτανεῖν κακίςην. Χ. Εὐσεβεςάτην μὲν οὖν.

Θ. Ἤ με προὔδωκεν; Χ. Καλήν γε προδοσίαν δίκαια δρᾷν.

Θ. Τἀμὰ λέκτρ' ἄλλῳ διδοῦσα; Χ. Τοῖς γε κυριωτέροις.

Θ. Κύριος δὲ τῶν ἐμῶν τίς; Χ. Ὃς ἔλαβεν πατρὸς πάρα.

Θ. Ἀλλ' ἔδωκεν ἡ τύχη μοι. Χ. Τὸ δὲ χρεὼν ἀφείλετο.

Θ. Οὐ σὲ τἀμὰ χρὴ δικάζειν. Χ. Ἤν γε βελτίω λέγω.

Θ. Ἀρχόμεσθ' ἄρ', οὐ κρατοῦμεν. Χ. Ὅσια δρᾷν τἀνδ' ἐκδικῶ.

Θ. Κατθανεῖν ἐρᾷν ἔοικας. Χ. Κτεῖνε, σύγγονον δὲ σὴν

Οὐ κτενεῖς ἡμῶν ἑκόντων, ἀλλ' ἐμέ· πρὸ δεσποτῶν

Τοῖσι γενναίοισι δούλοις εὐκλεέςατον θανεῖν.

ΙΑΜΒΟΙ.

Δ. Ἐπίσχες ὀργὰς, αἷσιν οὐκ ὀρθῶς φέρῃ,

Θεοκλύμενε, γῆς τῆσδ' ἄναξ· δισσοὶ δέ σε

Διόσκοροι καλοῦμεν, οὓς Λήδα ποτὲ

T. Ut interficiam meam peſſimam ſororem. C. Imo piiſſimam.

T. Quae me prodidit? C. Honeſtam certe proditionem, facere juſta.

T. Quae meam conjugem alii dedit? C. Nempe iis, qui plus in eam juris habent.

T. Quis vero *eſt rerum* mearum dominus? C. *Ille* qui accepit eam a patre.

T. At fortuna dedit mihi. C. Sed fatum *eam* abſtulit.

T. Non oportet te *res* meas judicare. C. *Imo* vero ſi meliora dicam.

T. Ergo ſervimus, non dominamur. C. Hanc pie feciſſe aio.

T. Mortem appetere videris. C. Interfice; ſororem vero tuam

Non interficies nobis volentibus, ſed me. Pro dominis

Glorioſiſſimum *eſt* generoſis ſervis mori.

IAMBI.

G. Cohibe iram, qua non recte abriperis,
Thoclymene, rex hujus terrae. Gemini vero te
Dioſcuri vocamus, quos Leda olim

Peperit, et Helenam, quae fugit ex tuo domo.
Iraſceris enim propter nuptias *tibi* non deſtinatas
Fato. Neque puella nata ex dea Nereide,
Theonoe ſoror *tua* tibi facit injuriam, quae *numen*
Deorum colit, et juſta patris mandata.
Semper enim ad tempus uſque nunc praeſens
Illam in tuis aedibus habitare oportuit:
Poſtquam vero Trojae everſae ſunt ſedes,
Et *haec* praebuit nomen Diis, non amplius
Iiſdem *tuis* nuptiis ipſam aſtrictam detineri oportet,
Sed redire domum, et habitare cum marito.
Quamobrem abſtine quidem a ſorore tua nigrum
Gladium, exiſtima vero eam prudenter haec feciſſe.
Jam pridem autem et ante ſervaviſſemus ſororem,
Poſtquam Jupiter fecit nos deos,
Sed inferiores fuimus ſimul et Fato,
Et Diis, quibus placuit ut haec ſic *ſe* haberent.
Ac tibi quidem haec dico. At ſorori meae dico,
Ut naviges cum marito tuo: Ventum enim
Habebitis ſecundum: nos vero ſervatores Gemini
Fratres tui, equitantes circa mare, mittemus *te in*
Patriam. Quum vero flexeris ac finiveris vitam,
Vocaberis dea, et cum Dioſcuris particeps

Ἔτικτεν, Ἑλένην θ', ἣ πέφευγε σοὺς δόμους·
Οὐ γὰρ πεπρωμένοισιν ὀργίζῃ γάμοις·
Οὐδ' ἡ, θεᾶς Νηρῆδος ἐκγόνη, κόρη
Ἀδικεῖ σ' ἀδελφὴ Θεονόη, τὰ τῶν θεῶν
Τιμῶσα, πατρός τ' ἐνδίκους ἐπιστολάς.
Εἰς μὲν γὰρ αἰεὶ τὸν παρόντα νῦν χρόνον
Κείνην κατοικεῖν σοῖσιν ἐν δόμοις ἐχρῆν.
Ἐπεὶ δὲ Τροίας ἐξανεστάθη βάθρα,
Καὶ τοῖς θεοῖς παρέσχε τ' οὔνομα, οὐκέτι
Ἐν τοῖσιν αὐτοῖς δεῖ νιν ἐζεῦχθαι γάμοις,
Ἐλθεῖν δ' ἐς οἴκους, καὶ συνοικῆσαι πόσει.
Ἀλλ' ἴσχε μὲν σῆς συγγόνου μέλαν ξίφος,
Νόμιζε δ' αὐτὴν σωφρόνως πράττειν τάδε.
Πάλαι δ' ἀδελφὴν καὶ πρὶν ἐξεσώσαμεν,
Ἐπείπερ ἡμᾶς Ζεὺς ἐποίησεν θεούς.
Ἀλλ' ἧσσον' ἦμεν τοῦ πεπρωμένου θ' ἅμα,
Καὶ τῶν θεῶν, οἷς ταῦτ' ἔδοξεν ὧδ' ἔχειν.
Σοὶ μὲν τάδ' αὐδῶ· συγγόνῳ δ' ἐμῇ λέγω,
Πλεῖν ξὺν πόσει σῷ· πνεῦμα δ' ἕξετ' οὔριον.
Σωτῆρε δ' ἡμεῖς σῷ κασιγνήτω διπλώ,
Πόντον παριππεύοντε, πέμψομεν πάτραν.
Ὅταν δὲ κάμψῃς, καὶ τελευτήσῃς βίον,
Θεὸς κεκλήσῃ, καὶ Διοσκόρων μέτα

Σπονδῶν μεθέξεις, ξένιά τ' ἀνθρώπων πάρα
Ἕξεις μεθ' ἡμῶν· Ζεὺς γὰρ ὧδε βούλεται.
Οὗ δ' ὥρισέν σε πρῶτα Μαιάδος τόκος,
Σπάρτης, ἀπάρας τῶν κατ' οὐρανὸν δόμων,
Κλέψας δέμας σὸν, μὴ Πάρις γήμειέ σε,
Φρουρὰ παρ' Ἀκτὴν τεταμένη, νῆσον λέγω,
Ἑλένη τὸ λοιπὸν ἐν βροτοῖς κεκλήσεται,
Ἐπεὶ κλοπὰς σὰς ἐκ δόμων ἐδέξατο.
Καὶ τῷ πλανήτῃ Μενέλεῳ θεῶν πάρα.
Μακάρων κατοικεῖν νῆσόν ἐστι μόρσιμον.
Τοὺς εὐγενεῖς γὰρ οὐ στυγοῦσι δαίμονες
Τῶν δ' ἀναριθμήτων μᾶλλόν εἰσιν οἱ πόνοι.
Θ. Ὦ παῖδε Λήδας καὶ Διὸς, τὰ μὲν πάρος
Νείκη μεθήσω σφῶν κασιγνήτης πέρι.
Ἐγὼ δ' ἀδελφὴν οὐκέτ' ἂν κτάνοιμ' ἐμήν·
Κείνη δ' ἴτω πρὸς οἶκον, εἰ θεοῖς δοκεῖ.
Ἴστον δ' ἀρίστης, σωφρονεστάτης θ' ἅμα,
Γεγῶτ' ἀδελφῆς μονογενοῦς ἀφ' αἵματος.
Καὶ χαίρεθ', Ἑλένης οὕνεκ' εὐγενεστάτης
Γνώμης, ὃ πολλαῖς ἐν γυναιξὶν οὐκ ἔνι.

ΑΝΑΠΑΙΣΤΟΙ.

Πολλαὶ μορφαὶ τῶν δαιμονίων·

Eris ſacrificiorum, et oblationes ab hominibus
Nobiſcum accipies: nam Jupiter ita vult.
Ubi vero collocavit te primum Maiae filius,
Sparta, *ex* caeleſtibus aedibus diſcedens,
Furatus tuum corpus, ne Paris duceret te,
Propugnaculum exporrectum juxta *Atticam* inſulam
Dico, Helena poſthac apud homines vocabitur;
Quia te domo furtim *illuc* abſportatam recepit.
Et erranti Menelao a diis
Fatale eſt habitare in inſulis fortunatis.
Dii enim non oderunt generoſos:
Eorum vero qui-in-nullo-numero-ſunt, magis ſunt
Labores. T. O filii Ledae et Jovis, priorem quidem
Contentionem de ſorore veſtri gratia omittam,
Et eam ſororem non amplius cupio.
Illa igitur eat domum, ſi diis placet:
Scitote vero, vos optimae ſimul et caſtiſſimae
Sorori, ab eodem prognatos eſſe ſanguine,
Et valete propter generoſum Helenae
Animum, quae res non ineſt in multis mulieribus.

ANAPAESTI.

C. Multae ſunt formae divinorum *operum*:

Dii vero multa praeter ſpem perficiunt:
Et quae videntur, non eveniunt:
Non ſperatorum autem invenit Deus viam.
Sic evenit hoc negotium.

FINIS.

Πολλὰ δ' ἀέλπτως κραίνȣσι θεοί.
Καὶ τὰ δοκηθέντ' ȣ̓κ ἐτελέσθη,
Τῶνδ' ἀδοκήτων πόρον εὗρεν θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

ΤΕΛΟΣ.

55

H.T.A.

SEP 20 1928